Εσ.Α 119
3/282.
482

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ
# ΚΑΙ ΒΙΟΣ
## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΩΑΝΝΟΥ ΤΟΥ ΡΩΣΣΟΥ
## ΤΟΥ ΕΝ ΠΡΟΚΟΠΙΩ ΤΗΣ ΚΑΠΠΑΔΟΚΙΑΣ ΑΣΚΗΣΑΝΤΟΣ

πρῶτον μὲν ἐκδοθεῖσα κατὰ τὸ 1849 ἐν Ἀθήναις,
δαπάνῃ τῆς ἐν Κων]πόλει Ἀδελφότητος τῶν λειψούχων Προκοπέων.

ΝΥΝ ΔΕ
ΕΠΕΞΕΡΓΑΣΘΕΙΣΑ ΚΑΙ ΕΠΑΥΞΗΘΕΙΣΑ
ΕΚΔΙΔΟΤΑΙ ΤΟ ΔΕΥΤΕΡΟΝ
ΦΙΛΟΤΙΜΩ ΔΑΠΑΝΗ
ΤΩΝ ΑΞΙΟΤΙΜΩΝ ΑΔΕΛΦΩΝ
Σ. καὶ Ε. ΗΛΙΑΔΗ τῶν Προκοπέων,
ἵνα δωρεὰν διανέμηται
τοῖς εὐλαβέσι προσκυνηταῖς τοῦ ἱεροῦ αὐτοῦ λειψάνου.

»Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς
» ἁγίοις αὐτοῦ.
Ψαλμ. ΞΖ΄, 35.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
1899

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

Δραχμαί 15

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ
# ΚΑΙ ΒΙΟΣ
## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΩΑΝΝΟΥ ΤΟΥ ΡΩΣΣΟΥ
## ΤΟΥ ΕΝ ΠΡΟΚΟΠΙΩ ΤΗΣ ΚΑΠΠΑΔΟΚΙΑΣ ΑΣΚΗΣΑΝΤΟΣ

πρῶτον μὲν ἐκδοθεῖσα κατὰ τὸ 1849 ἐν Ἀθήναις,
δαπάνῃ τῆς ἐν Κων]πόλει Ἀδελφότητος τῶν λεμβούχων Προκοπέων.

ΝΥΝ ΔΕ

ΕΠΕΞΕΡΓΑΣΘΕΙΣΑ ΚΑΙ ΕΠΑΥΞΗΘΕΙΣΑ

ΕΚΔΙΔΟΤΑΙ ΤΟ ΔΕΥΤΕΡΟΝ

**ΦΙΛΟΤΙΜΩ ΔΑΠΑΝΗ**

ΤΩΝ ΑΞΙΟΤΙΜΩΝ ΑΔΕΛΦΩΝ

Σ. καὶ Ε. ΗΛΙΑΔΗ τῶν Προκοπέων,

ἵνα δωρεὰν διανέμηται

τοῖς εὐλαβέσι προσκυνηταῖς τοῦ ἱεροῦ αὐτοῦ λειψάνου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

»Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς
»Ἁγίοις αὐτοῦ.
Ψαλμ. ΞΖ΄, 35.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

**1899**

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

Τοῖς εὐσεβέσιν ἀναγνώσταις,

Θεὸς ὁ ἐνδυναμῶν τοὺς ἁγίους αὐτοῦ, τοὺς ὁσίους καὶ τοὺς μάρτυρας, ὁ δοξαζόμενος ἐν αὐτοῖς, αὐτὸς εἶναι ὁ ἀπολαμβάνων τὴν τιμὴν καὶ τὸν αἶνον, τὸν γινόμενον πρὸς αὐτούς· διότι, κατὰ τὸν μέγαν Βασίλειον, «ἡ πρὸς τοὺς ἁγίους τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας» (ἐν λόγῳ εἰς τοὺς ἁγίους Τεσσαράκοντα μάρτυρας). Ὅταν δὲ ἀπὸ τῶν πρώτων χρόνων ἡ τῶν εὐσεβῶν χορεία συνείθιζε νὰ ζωγραφῇ τοὺς ἄθλους τῶν μαρτύρων καὶ τὰ σκάμματα τῶν ὁσίων καὶ τῶν ὁμολογητῶν, ἔπραττε τοῦτο καὶ πρὸς τὸν σκοπὸν νὰ διεγείρῃ τοὺς ῥαθυμοτέρους εἰς ζῆλον καὶ μίμησιν, ἀλλὰ καὶ διὰ τὸν λόγον ὅτι «θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ».

Κατὰ ταῦτα λοιπὸν εἶναι δίκαιον νὰ τιμῶμεν ἐν πανηγύρει κατ' ἔτος δι' ὕμνων καὶ ᾠδῶν πνευματικῶν τὴν ἱερὰν μνήμην τοῦ ἐν τοῖς ἐσχάτοις τούτοις χρόνοις ἐν ἀσκήσει τε καὶ ὁμολογίᾳ διαλάμψαντος ὁσίου πατρὸς ἡμῶν **Ἰωάννου τοῦ Ρώσσου**. Τοιούτους ὕμνους, συγκροτοῦντας τὴν Ἀκολουθίαν αὐτοῦ, συνταχθέντας πιθανώτατα πρὸ χρόνου πολλοῦ, συνεπλήρωσεν Ἰωσὴφ ἱεροδιδάσκαλος ὁ ἐκ Κερμήρα; τῆς Πρώτης Καππαδοκίας, καὶ ταύτην τὴν **Ἀκολουθίαν** ἐξέδωκαν οἱ εὐσεβεῖς συμπολῖται ἐν Ἀθήναις, τῷ 1847, μετὰ τῆς «πολιτείας» τοῦ ὁσίου, τουρκικῇ διαλέκτῳ συγγραφείσης ἐν ἑλληνικοῖς ψηφίοις· εἶχε δ' αὕτη τὴν ἑξῆς ἐκκλησιαστικὴν ἔγκρισιν «Ἀδείᾳ τῆς Ἱερᾶς Συνόδου,καὶ ἐντολῇ τοῦ σεβασμιωτάτου γέροντος ἡμῶν ἁγίου Καισαρείας κυρίου Παϊσίου, ἐπιτρέπεται ἵνα ψάλληται ἡ Ἀκολουθία αὕτη ἐν ταῖς ἱεραῖς ἐκκλησίαις τοῦ Προκοπίου, κωμοπόλεως τῆς καθ' ἡμᾶς θεοσώστου ἐπαρχίας. ͵αωμθ', ἰουνίου κε'. Ὁ Ναζιανζοῦ Λεόντιος ἀποφαίνεται». Τοῦ δὲ ὁσίου «βίον καὶ πολιτείαν καὶ διήγησιν θαυμάτων» γράψας ὁ ἐκ Προκοπίου ἱερομόναχος Διονύσιος ἐξέδωκεν ἐν «Ἐκκλησιαστικῇ Ἱστορίᾳ» Καππαδοκίας, τῇ ἐκδοθείσῃ ὑπὸ Α. Λεβίδου, καὶ ταύτην ἐν τῷ Μεγάλῳ αὐτοῦ

Συναξαριστῇ (Ἰουνίου μηνὸς) μετετύπωσε πρὸ πενταετίας ὁ Κ. Δουκάκης. Ἐν πολλοῖς χρήζουσαν διορθώσεως, καθὸ καὶ περὶ τὸν ῥυθμὸν σκάζουσαν καί τινα ἀπρεπῆ πως περιέχουσαν ἀντικείμενα τοῖς κανόσι τῆς λογοκρισίας, ἔγνωμεν ν' ἀνατυπώσωμεν ἐν τῷ πατριαρχικῷ τυπογραφείῳ, διορθωθεῖσαν ὑπὸ τοῦ ἄρχοντος Μεγάλου Χαρτοφύλακος τῆς Μεγάλης Ἐκκλησίας κ. Μανουὴλ Ἰω. Γεδεών. Εὐγνωμονοῦμεν δὲ τοῖς τὴν καθόλου δαπάνην τῆς ἐκδόσεως ταύτης ἀναλαβοῦσι, τοῖς ἐν Σμύρνῃ καὶ ἐνταῦθα μὲν ἐμπορευομένοις, συμπολίταις δ' ἡμῶν οὖσιν, ἐκ Προκοπίου, ἀδελφοῖς Σ. καὶ Ε. Ἠλιάδαις, ὧν ὁ ζῆλος καὶ ἡ πρὸς τὸν ἅγιον Ἰωάννην θερμὴ εὐλάβεια μόνον ὑπὸ τοῦ δοτῆρος τῶν ἀγαθῶν δυνατὸν νὰ ἀνταμειφθῶσι.

Προσφέροντες τὴν Ἀκολουθίαν ταύτην εἰς τοὺς τιμῶντας τὴν μνήμην τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου πλήρη, τελείαν, καὶ μετὰ φιλοκαλίας ἐκτετυπωμένην, εὐγνωμονοῦμεν ἐκ βάθους ψυχῆς πρὸς τὴν Α. Θ. Παναγιότητα τὸν οἰκουμενικὸν πατριάρχην κ. Κωνσταντῖνον Ε' καὶ τοὺς περὶ Αὐτὸν ἱερωτάτους μητροπολίτας, συνοδικῶς ἐπινεύσαντας εἰς τὴν ἐγκαινίασιν ναοῦ ἐπ' ὀνόματι τοῦ ἁγίου Ἰωάννου, οὗ καὶ τῇ 15 αὐγούστου 1898 ἐτελέσθησαν τὰ ἐγκαίνια ὑπὸ τοῦ σεβασμιωτάτου γέροντος ἁγίου Καισαρείας κ. Ἰωάννου, ἐπισπασαμένου τὴν θερμὴν ἡμῶν εὐγνωμοσύνην. Εὐχαριστοῦμεν ἐπίσης καὶ πᾶσι τοῖς ἐργαζομένοις ὑπὲρ τῆς ὁσίας ταύτης ἐπιχειρήσεως, ἰδίᾳ δὲ τῷ ἐξοχ. Ἀβραὰμ Βαπορίδῃ ἐφέντῃ, τῷ θερμὸν ἐνδιαφέρον ἐπιδειξαμένῳ ἐπὶ ἓν ὅλον ἔτος ὑπὲρ ἐπιφανεστέρας ἐπιτελέσεως τῆς τοῦ ἁγίου μνήμης· ὑπὲρ ὧν πάντων ἐπικαλούμεθα τὴν εὐλογίαν τοῦ Ὑψίστου.

Ἐν Κωνσταντινουπόλει, τῇ 15 Ἰανουαρίου 1899.

**Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΠΙΤΡΟΠΗ ΤΟΥ ΠΡΟΚΟΠΙΟΥ**

| | |
|---|---|
| ΣΤΑΥΡΟΣ ΗΛΙΑΔΗΣ | Χ''ΡΟΗΛ Β.ΚΑΠΟΥΤΑΝΟΓΛΟΥΣ |
| ΚΥΡΙΑΚΟΣ ΛΙΝΟΠΟΥΛΟΣ | ΚΥΡΙΑΚ. ΠΑΜΠΟΥΚΤΖΟΓΛΟΥΣ |
| ΙΩΑΝ. Μ.ΟΥΣΤΟΥΡΑΤΖΟΓΛΟΥΣ | Χ'' ΑΛΕΞ. ΓΙΟΓΟΥΡΤΖΟΓΛΟΥΣ |



# ΑΚΟΛΟΥΘΙΑ

### ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΡΩΣΣΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ,

**ψαλλομένη κατὰ τὴν 27 Μαΐου.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὸ **Μακάριος ἀνήρ·** εἰς δὲ τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχους ΣΤ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. **Ἔδωκας σημείωσιν**

Ἔλαμψεν ὡς ἥλιος ἡ θεία μνήμη σου σήμερον, τοὺς πιστοὺς καταυγάζουσα, θείαις φρυκτωρίαις, μάκαρ Ἰωάννη, καὶ παθημάτων τὴν ἀχλὺν καὶ τῶν δαιμόνων σκότος διώκουσα· διό σε μακαρίζομεν καὶ καθηκόντως γεραίρομεν, ὡς ἡμῶν ἐγκαλλώπισμα καὶ ὑπέρμαχον ἄσειστον.

Ἄγγελος ἐπίγειος, οἷα περ ἄλλος ἐβίωσας, ἐγκρατείᾳ τὸ σῶμά σου μαράνας, θεόσοφε, καὶ ἐν ἀγρυπνίαις, στάσεσι παννύχοις, μνήμην θανάτου ἐμ-

ποιῶν, τῶν θείων, πάτερ, ἐπαξιούμενος μυστηρίων καθ᾽ ἕκαστον σάββατον, ὅθεν προσήγαγες σεαυτὸν καλλιέρημα τῷ τῶν ὅλων δεσπόζοντι.

Πάντας τοὺς τιμῶντάς σου τὴν θείαν μνήμην καὶ ἔνδοξον, Ἰωάννη μακάριε, φύλαττε, πρεσβείαις σου, ταῖς πρὸς τὸν Δεσπότην, τοῦτον ἱκετεύων, ἀπὸ κινδύνων καὶ παθῶν, καὶ τὴν δικαίαν αὐτοῦ δυσμένειαν θερμαῖς σου ἀπομάκρυνον λιταῖς ἀπὸ τῶν τιμώντων σε, ὅπως πᾶσι κηρύττωμεν τὴν θερμὴν προστασίαν σου.

Ἕτερα ἦχ. πλ. δ΄. **Ὅλην ἀποθέμενοι**

Ὅλην ἀποθέμενος τὴν τῶν παθῶν ἀλογίαν, καὶ σάρκα τῷ πνεύματι ὑποτάξας, γέγονας σκεῦος ἔνθεον, μοναστῶν ἔρεισμα, ἀσκητῶν σέμνωμα, τῶν ὁσίων ἐγκαλλώπισμα· καὶ νῦν τὸ ἄρρητον κάλλος ἐποπτεύων τοῦ Κτίστου σου τρυφᾷς ἀεί, τῆς πόλεως τῆς ἐπουρανίου ὡς κάτοικος. Ὅθεν συνελθόντες ᾀσμάτων σου τὴν μνήμην ἐν ᾠδαῖς νῦν ἐκτελοῦντες δοξάζομεν, Ἰωάννη ὅσιε.

Πλοῦτον ἀναφαίρετον τῶν Προκοπέων ἡ πόλις εὐμοιρεῖ σε, ὅσιε, φαειναῖς αὐγάζοντα ταῖς λαμπρότησι· ταύτην νῦν δόξασον, καὶ λαμπρῶς δώρησαι τὰ εἰρήνης θεῖα τρόπαια, ἐχθρῶν τὴν ἔπαρσιν τῶν μὴ φαινομένων κατάργησον, πρεσβείαις σου, πανένδοξε, καὶ τῶν δωρημάτων τοῦ Πνεύματος πλῆσον τὰς καρδίας ἡμῶν τῶν ἀνυμνούντων σε πιστῶς, ἐν παρρησίᾳ δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



Δεῦτε προσκυνήσωμεν λαὸς ἐν οἴκῳ Κυρίου, ὅπου τὸ πανέντιμον σκῆνος τεθησαύριται τοῦ τρισμάκαρος, ᾧ τερπνοῖς ᾄσμασι, καὶ φαιδραῖς λάμψεσι, λιτανεύοντες βοήσωμεν· πρόφθασον, Ἅγιε, καὶ τοὺς ἐν ἀνάγκαις ἐλέησον, καὶ κλύδωνος ἐξάρπασον, καὶ τῆς καταιγίδος τῶν θλίψεων, ὅπως, Ἰωάννη, λειψάνων σου τῇ θήκῃ ἐν χαρᾷ καὶ παρρησίᾳ πελάζωμεν, χάριτας τὴν βρύουσαν.

**Δόξα,** ἦχ. πλ. δ΄.

Σήμερον τῷ πανυψίστῳ Θεῷ αἶνος ἐκ χοϊκῶν χειλέων προσᾴδεται. Ἔλαμψε γὰρ ὡς ἥλιος φαιδρὸς τοῦ θεοφόρου πατρὸς ἡμῶν μνήμη ἡ πανένδοξος. Οὗτος γὰρ ὁ ἀείμνηστος τὸ καρτερικὸν τοῦ πολυάθλου Ἰὼβ μιμησάμενος ἀκλόνητος ἵστατο ἐν αἷς ὑπέπεσε κακουχίαις· αἰχμάλωτος δὲ ὤν, τὸν τῆς αἰχμαλωσίας πρωταίτιον, τὸν μισάνθρωπον ἐχθρὸν κατήσχυνεν. Ὅθεν χοροστασίαι τῶν πιστῶν συνελθόντες, οὕτω βοήσωμεν· Πάτερ ἀγαθέ, ὁ ἐν οὐρανοῖς, παράσχου τῷ λαῷ σου, ἱκεσίαις τοῦ σοῦ ὁσίου, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

**Καὶ νῦν,** τῆς Ἑορτῆς, ἢ τὸ δογματικὸν Θεοτόκιον.

Εἴσοδος. **Φῶς Ἱλαρόν.** Τὸ προκείμενον τῆς ἡμέρας

**καὶ τὰ Ἀναγνώσματα**

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δ' αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπῶν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφθήσονται



χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ τὴν ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ πόλις ἡ Προκοπέων, ἀγάλλου καὶ χόρευε, πίστει λαμπροφοροῦσα, Ἰωάννην τὸν τῆς Ρωσσίας γόνον κόλποις σου κατέχουσα, ὡς θησαυρόν· ἀπόλαυε τῶν θαυμάτων αὐτοῦ, τὰς ἰάσεις καθορῶσα, καὶ εὐχαρίστως τῷ Σωτῆρι βόησον· Φιλάνθρωπε Κύριε δόξα σοι.

Ἦχος β΄.

Η τῶν τιμίων σου λειψάνων θεία λάρναξ ἰάματα πηγάζει τοῖς πιστοῖς, χαριτώνυμε ὅσιε πάτερ· καὶ ἡ ἁγία σου ψυχὴ Ἀγγέλοις συνοῦσα ἀξίως ἐπαγάλλεται· ἔχων οὖν πρὸς Κύριον, σοφὲ, τὴν παρρησίαν, καὶ σὺν τοῖς ὁσίοις χορεύων ἐν οὐρανοῖς, ἱκέτευε ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην σου.

Ἦχος γ΄.

Ἅπας τῶν συναθροισθέντων δῆμος ἱερός, ἐπὶ τῇ τοῦ ὁσίου μνήμῃ τῇ φαιδρᾷ, ὁμοφώνως συγχάρητε κράζοντες· Χαίροις τὸ τῆς Ρωσσιας κάλλιστον θρέμμα, καὶ τῶν πιστῶν ἁπάντων τὸ σεμνολόγημα· Χαίροις, ὁ δυσήνιον σάρκα καθυποτάξας τῷ πνεύματι, καὶ τὰς ὁρμὰς ἀμβλύνας τῶν παθῶν, τῇ ῥοῇ τῶν δακρύων σου, ὦ Ἰωάννη· Χαίροις, τὸ ἡμέτερον καύχημα, καὶ τῆς Ἐκκλησίας τῶν πιστῶν ἀγαλλίαμα.



Ἦχος δ΄.

Φερωνύμως ἡ κλῆσίς σου γέγονε χαριτώνυμος, ὅσιε πάτερ· ὡς γὰρ ὁ θεῖος Βαπτιστής, μεταξὺ τοῦ ἰουδαϊκοῦ λαοῦ ἐχαριτώθη, καὶ παρὰ Χριστοῦ σαφῶς ἐμαρτυρήθη, οὕτω καὶ σὺ ὁ ὁμώνυμος αὐτοῦ καὶ μιμητής, μεταξὺ τοῦ ἀγνοουντός σε λαοῦ, χάριν οὐρανόθεν εἴληφας, τῇ θεαρέστῳ πολιτείᾳ σου, ὦ Ἰωάννη· διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐπιτελούντων τὴν ἁγίαν σου, σοφέ, πανήγυριν.

**Δόξα,** Ἦχ. πλ. α΄.

Χαρμοσύνως σήμερον Θεῷ ἡ τῶν Προκοπέων πόλις σκιρτῶσα βόησον· Ἐλαμπρύνθη μου τὸ κάλλος, ὑπὲρ πᾶσαν ἄλλην πόλιν τῶν ἐνθάδε· Ἰδοὺ γὰρ ὁ τῆς Ρωσσίας θεῖος γόνος, καὶ τὸ τῶν ὁσίων μέγα κειμήλιον, Ἰωάννης ὁ ὄντως χαριτώνυμος τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο, καταλιπών μοι σεμνολόγημα τὸ αὐτοῦ ἅγιον σκῆνος. Δεῦρο δή μοι ἅπαν τὸ σύστημα τῶν ὀρθοδόξων ἑορτάσωμεν αὐτοῦ τὴν θείαν μνήμην, ἵνα καὶ τῆς αὐτοῦ κοινωνήσωμεν χάριτος· τοῦ πρεσβεύοντος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν,** τῆς Ἑορτῆς. Εἰ δὲ μή, **Μακαρίζομέν σε.**

Εἰς τὰ **Ἀπόστιχα·** στιχ. προσόμοια

**Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Δεῦτε τῶν Ἀγγέλων οἱ χοροί, δεῦτε τῶν ὁσίων οἱ δῆμοι, κλεινὲ Ἀντώνιε, θεῖέ τε Εὐθύμιε, Σάββα, Ἀρσένιε, Συμεὼν καὶ Ἀλύπιε, οἱ θεῖοι στυλῖται, δεῦτε

ὑποδέξασθε τὸν τῆς Ῥωσσίας βλαστόν, θεῖον Ἰωάννην τὸν ὄντως μιμητὴν ὑμῶν τε καὶ μύστην, καὶ ὑπὲρ ἡμῶν ὁμοῦ πρεσβεύσατε.

Στιχ. **Τίμιος ἐναντίον Κυρίου.**

Ξένος καὶ αἰχμάλωτος ἀχθεὶς ταῖς τῶν δυσσεβῶν χερσί, πάτερ, ξένην ἐβίωσας πολιτείαν, ἔνδοξε, οἰκήσας σταύλῳ τινί, ὡς Ἰὼβ ἄλλος, ὅσιε, ὁ ἐπὶ κοπρίας, στένων καὶ θλιβόμενος, καὶ ἀειρρόους κρουνοὺς χέων θερμοτάτων δακρύων, ἔφθασας πρὸς ὃν ἐπεπόθεις, Ἰωάννη, ὄντως χαριτώνυμε.

Στιχ. **Καυχήσονται ὅσιοι ἐν δόξῃ.**

Ἔχων παρρησίαν πρὸς Θεόν, πάντων τῶν ἐν πίστει τελούντων τὴν σὴν σεπτὴν ἑορτήν, Ἰωάννη ὅσιε, θερμῶς παράστηθι, τῶν κινδύνων ρυόμενος, παθῶν ἀπαλλάττων, πάσης περιστάσεως δεινῶν λυτρούμενος, νέμων τε ψυχῶν σωτηρίαν, θείαις σου ἐντεύξεσιν, ὅπως ἐν ᾠδαῖς καὶ ὕμνοις σὲ γεραίρωμεν.

**Δόξα,** Ἦχ. πλ. δ'.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ, τὸ προφητικὸν φησὶ λόγιον. Ὁ γὰρ δίκαιος ἐν πᾶσιν Ἰωάννης, εἰ καὶ εἰς ἀλλοδαπὴν μετήχθη χθόνα, καὶ ὑπὸ ἀνόμων ἐσυλήθη, καὶ αἰχμάλωτος εἰς χεῖρας τούτων παρεδόθη, τῆς τοῦ Θεοῦ ἐνετρύφα μνήμης, καὶ τὴν ἀρετὴν ἐκτήσατο σύνοικον. Διὸ καὶ ζῇ, ἀποθανών, εἰς τοὺς αἰῶνας,



μετὰ τῶν ἐν οὐρανοῖς ὁσίων πάντων· μεθ' ὧν πρεσβεύει ὑπὲρ ἡμῶν πρὸς Κύριον.

**Καὶ νῦν,** τῆς τυχούσης Ἑορτῆς, ἢ Θεοτόκιον·

Τὸ **Νῦν ἀπολύεις·** Τρισάγιον

καὶ τὸ Ἀπολυτίκιον

Ἦχος δ'. **Ταχὺ προκατάλαβε.**

Ἐκ γῆς ὁ καλέσας σε πρὸς οὐρανίους μονὰς τηρεῖ καὶ μετὰ θάνατον ἀδιαλώβητον τὸ σκῆνός σου, ὅσιε. Σὺ γὰρ ἐν τῇ Ἀσίᾳ, ὡς αἰχμάλωτος, ἤχθης, ἔνθα καὶ ᾠκειώθης τῷ Χριστῷ, Ἰωάννη. Αὐτὸν οὖν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα,** Ἕτερον

Ἦχος α'. **Τοῦ λίθου σφραγισθέντος.**

Ἐν σοὶ καυχᾶται, πάτερ, Ῥωσσία ἅτε μήτηρ, γῆ Καππαδοκῶν δ' ἐπιχαίρει τῷ σῷ σεπτῷ λειψάνῳ· ἐν ᾗ ὡς αἰχμάλωτος ἀχθείς, ὑπέστης τὰς δεινῶν ἐπιφοράς· καὶ βιώσας ἐν ἀσκήσει, μύστης Θεοῦ γεγένησαι, Ἰωάννη· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· Δόξα τῷ σὲ θαυμαστώσαντι· Δόξα τῷ σὲ προστάτην κραταιὸν ἡμῖν δωρήσαντι.

**Καὶ νῦν,** τῆς Ἑορτῆς, ἢ Θεοτόκιον.

Καὶ ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, Κάθισμα·

Ἦχος α'. **Τὸν τάφον σου Σωτήρ.**

Ὁσίων ὁ χορὸς τὴν σὴν μνήμην, θεόφρον, ἐν ὕμνοις καὶ ᾠδαῖς, Ἰωάννη, τιμῶσι· προσθήκην γὰρ ἐδέξαντο σοῦ τὸ πνεῦμα, μακάριε· ὅθεν σήμερον καὶ ἡ Χριστοῦ Ἐκκλησία μεγαλύνει σε, δοξολογοῦσα ἐνθέως τὸν σὲ θαυμαστώσαντα.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν,** τῆς τυχούσης Ἑορτῆς.

Μετὰ τὴν β' στιχ. Κάθισμα·

Ἦχ. γ'. **Τὴν ὡραιότητα**

Πάθη τοῦ σώματος, θεομακάριστε πάτερ, ἐξήρανας δακρύων ρεύμασι, καὶ τῶν θαυμάτων ποταμοὺς ἀνέβλυσας, Ἰωάννη. Ὅθεν προσερχόμενοι τῷ τιμίῳ λειψάνῳ σου χάριν τε καὶ ἔλεος προφανῶς ἀρυόμεθα· τιμῶντές σου τὴν μνήμην ἀξίως καὶ τὸν δοξάσαντά σε Κύριον.

**Δόξα,** ἕτερον ὅμοιον.

Ὅλον ἐκόσμησας, μάκαρ, τὸν βίον σου, καὶ ὑπερκόσμιος ὅλος σὺ γέγονας, καθάπερ ἄσαρκος σαρκὶ καὶ ἄνθρωπος οὐρανόφρων. Ὅθεν ἱκεσίαις σου, Ἰωάννη μακάριε, κόσμησον καὶ κάθαρον ἐκ τοῦ ρύπου τῶν ἔργων μου, τὸν πίστει τὴν ἁγίαν σου μνήμην ψαλμοῖς καὶ ὕμνοις μεγαλύναντα.

**Καὶ νῦν,** τῆς Ἑορτῆς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Μετὰ τὸν Πολυέλεον, Κάθισμα·

Ἦχ. δ'. **Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν ἐπὶ ὤμων τὸν σταυρὸν τοῦ Κυρίου ἀναλαβόντα καὶ αὐτῷ μέχρι τέλους ἀσκητικοῖς ἀγῶσι καὶ παλαίσμασιν ἐπακολουθήσαντα εὐφημήσωμεν ὕμνοις Ἰωάννην ἅπαντες τὸν θεόφρονα ὄντως· ὃν ἡ Ρωσσία ἔτεκε πιστῶς, Καππαδοκία δ' ἐγνώρισεν ὅσιον.

**Δόξα,** ἕτερον ὅμοιον.

Ὁ βιωτεύσας θαυμαστῶς καὶ ὁσίως ἐπὶ τὴν πόλιν ὡς εἰς τόπους ἐρήμους, αἰχμαλωσίᾳ καίτοι δεσμευόμενος, εἶχες ὁδηγοῦσάν σε τὴν Παρθένον Μαρίαν, εἶχες συμμαχοῦντά σοι τὸν θεάρεστον βίον, ὦ Ἰωάννη μέγιστε φωστήρ, Καππαδοκίας ἀπρόσβλητον φρούριον.

**Καὶ νῦν,** τῆς Ἑορτῆς.

Εἶτα τὸ **Ἐκ νεότητός μου.** Τὸ προκείμενον· Τίμιος ἐναντίον Κυρίου. Στιχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τὸ **Πᾶσα πνοή.** Εὐαγγέλ. **Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς·** ὁ Ν'. **Δόξα,** Ταῖς τοῦ σοῦ ὁσίου·

**Καὶ νῦν,** Ταῖς τῆς Θεοτόκου.

Καὶ τὸ Ἰδιόμελον, Ἦχ. πλ. β'.

Ἡ θεία λάρναξ τῶν λειψάνων σου, Ἰωάννη πάτερ ὅσιε, ἰάματα πηγάζει τοῖς πιστοῖς· καὶ ἡ ἁγία σου ψυχὴ Ἀγγέλοις συνοῦσα ἐπαξίως ἀγάλλεται. Ἔχων οὖν πρὸς Κύριον τὴν παρρησίαν, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὸ **Σῶσον ὁ Θεὸς τὸν λαόν σου.**

Κύριε ἐλέησον ΙΒ΄. Καὶ οἱ Κανόνες. Ὁ τῆς Ἑορτῆς, καὶ ὁ τοῦ Ἁγίου. Εἰ δὲ τύχοι ἐκτὸς τοῦ Πεντηκοσταρίου, ὁ παρὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄.

Καὶ τοῦ Ἁγίου εἰς στ΄.

Ὁ Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ α΄. ἦχ. β΄. Ὁ Εἱρμός.

» Δεῦτε λαοὶ ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ » διελόντι θάλασσαν καὶ ὁδηγήσαντι τὸν λαὸν, ὃν » ἀνῆκε δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται. **Δίς.**

Ἡ τὴν πηγὴν τῆς ἀπαθείας κυήσασα τραυματισθέντα πάθεσι, Κόρη, θεράπευσον, καὶ πυρὸς αἰωνίου ἐξάρπασόν με μόνη, θεοχαρίτωτε.

Ἐπὶ τὴν σὴν νῦν καταφεύγω χρηστότητα, παρθενομῆτορ Ἄχραντε, ῥῦσαι τὸν δοῦλόν σου ψυχικῶν νοσημάτων, παθῶν τε ψυχοφθόρων, καὶ αἰωνίου πυρός.

Σὲ στηριγμὸν καὶ προστασίαν πλουτίσαντες οἱ Θεοτόκον, Πάναγε, ὁμολογοῦντές σε τρικυμίαις τοῦ βίου καὶ πειρασμῶν παντοίων διασωζόμεθα.

Ἡ τῶν πιστῶν καταφυγὴ, Ἀειπάρθενε, ἡ κραταιὰ βοήθεια τῶν προστρεχόντων σοι, ἀπὸ πάσης ἀνάγκης καὶ βλάβης ἐναντίας ἡμᾶς διάσωσον.

Ὁ Κανὼν τοῦ Ἁγίου. Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Ὕμνοις τὴν σὴν φαεινοτάτην πανήγυριν ἀνευφημεῖν ὁρμήσαντι φῶς μοι κατάπεμψον, παρεστὼς στεφηφόρος τῷ θρόνῳ τοῦ Δεσπότου, μακαριώτατε.



Μέλη, σοφὲ, νεκρώσας πάντα τοῦ σώματος, ἐν τῇ καρδίᾳ ἔσχηκας Χριστὸν, νεκρώσαντα τὸν ἀρχέκακον ὄφιν, καὶ τὴν βροτείαν φύσιν ἀπολυτρώσαντα.

Νόμον Χριστοῦ ἐμμελετήσας, θεσπέσιε, δένδρον ζωῆς κατάκαρπον ἀρεταῖς δέδειξαι, προβαλλόμενος χάριν τῶν θείων ἰαμάτων τοῖς σὲ δοξάζουσι.

Θεοτόκιον.

Μετὰ Θεὸν Σὲ βοηθὸν ἀκαταίσχυντον καὶ προστασίαν ἄμαχον, καὶ ἀντιλήπτορα, καὶ φρουρὸν καὶ μεσίτην, Παρθένε, κεκτημένος κράζω σοι· σῶσόν με.

**Καταβασίαι**, τῆς τυχούσης Ἑορτῆς·

ἢ, **Ἀνοίξω τὸ στόμα μου.**

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

» Στερέωσον ἡμᾶς ἐν σοὶ, Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν » ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε. **Δίς.**

Χρυσοῦν ὡς ἀληθῶς θυμιατήριον, καὶ στάμνον τοῦ μάννα, καὶ θεῖον ὄρος, καὶ παλάτιον τερπνότατον τοῦ Θεοῦ σε, Παρθένε, ὀνομάζομεν.

Ναὸς καὶ ἱερὸν κατοικητήριον τοῦ Λόγου ὑπάρχουσα, Θεοτόκε, τῶν πταισμάτων ἱλαστήριον, Παναγία, γενοῦ μοι, Ἀειπάρθενε.

Οὐ σθένει τῶν ἐμῶν κακῶν τὴν ἄβυσσον ἀνθρώπου ἐκφράσαι γλῶσσα, Παρθένε· ὑπὲρ μέτρον γὰρ ἠνόμησα· ἀλλ᾽ ὡς μήτηρ ἐλέους σύ με οἴκτειρον.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Ἐξέλαμψεν ὁ βίος σου, ὅσιε, ὁλολαμπὴς ὡς ἥλιος ἐν κόσμῳ· ταῖς εὐχαῖς σου οὖν διάσωσον τοὺς ἐν πίστει καὶ πόθῳ σὲ γεραίροντας.

Ἰάσεις ἐνεργῶν, πάτερ ὅσιε, καὶ δαιμόνων διαλύων τὴν πλάνην, σωτηρίας πᾶσιν αἴτιος τοῖς πλουτοῦσι σὲ προστάτην γέγονας.

Βλεφάρων νυσταγμὸν ἀπωσάμενος, τὰς ἀτάκτους ἐκοίμησας, Ἰωάννη, δυσηνίου ὁρμὰς σώματος, ταῖς πρὸς Θεὸν θερμαῖς ἱκεσίαις σου.

Θεοτόκιον.

Σαλεύθητι, ψυχή, σὺν καρδίᾳ μου, δονήθητι τὸ σῶμά μου τῷ πλήθει τῶν πταισμάτων μου, διὸ πίστει τὴν Θεοτόκον ἱκετεύω νῦν.

**Καταβασία.** Αἴτησις, καὶ τὰ Καθίσματα.

Ἦχος δ΄. **Ταχὺ προκατάλαβε.**

Ἁγνείας τοῖς ἄνθραξι προκαθαρθεὶς τὴν ψυχήν, τὸ σῶμα ἐστόμωσας πρὸς ἀπαθείας ἰσχύν, Ἰωάννη μακάριε. Ὅθεν τῶν σῶν λειψάνων ἡ αἰδέσιμος λάρναξ νόσους ἀποδιώκει, καὶ φωτίζει τοὺς πίστει ἀεὶ προσερχομένους σοι καὶ εὐφημοῦντάς σε.

**Δόξα,** ἕτερον ὅμοιον.

Ἀσίας ἀγλάϊσμα ὁ τῆς Ρωσσίας βλαστὸς ἀσκήσει καθέστηκεν, ὁ Ἰωάννης φημί, Θεοῦ ὡς εὐάρεστος. Οὗτος οὐκ ἐπορεύθη ἐν βουλῇ τῶν ματαίων, εἰ καὶ ᾐχμαλωτίσθη ὑπ' αὐτῶν ὁ θεόφρων, ἀλλ' ἔστη ἐν τῷ νόμῳ Θεοῦ, μέχρι τοῦ ζῆν ὁ χαριτώνυμος.

**Καὶ νῦν,** τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. ὁ Εἱρμός.



» Εἰσακήκοα, Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας·
» καὶ ἐδόξασά σε, μόνε φιλάνθρωπε. **Δίς.**

Σὲ Παρθένε κεκτήμεθα χριστιανοὶ βοήθειαν καὶ σκέπην, χαλεπῶν κινδύνων ἡμᾶς ἐξαίρουσαν.

Ἀπειρόγαμε Δέσποινα, ἡ τὸν Θεὸν ἐν μήτρᾳ δεξαμένη, πειρασμῶν καὶ πόνων πάντας διάσωζε.

Ἀπροσμάχητον τεῖχός σε καὶ κραταιὰν ἐλπίδα, Θεοτόκε, οἱ πιστοὶ ἐν θλίψει λαμπρῶς κεκτήμεθα.

Τὴν πρεσβείαν σου, Δέσποινα, ὡς ἀσφαλῆ κρηπῖδα κεκτημένοι, ποικίλων θλίψεων ἀεὶ λυτρούμεθα.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Σεαυτὸν κατεκάλλυνας, σαρκὸς νεκρώσας τὸ φρόνημα ἅπαν, διὸ ἐχώρησας πρὸς τὰ οὐράνια.

Ἐμιμήσω, θεσπέσιε, τὸν κείμενον Ἰὼβ ἐπὶ κοπρίας, κατοικίαν ἔχων τὸ ἱπποστάσιον.

Τῶν παθῶν τὰ ὁρμήματα σοφῶς ᾐχμαλώτισας, Ἰωάννη, δυσσεβῶν γεγονὼς μέγας αἰχμάλωτος.

Θεοτόκιον.

Καταλάμπρυνον, Ἄχραντε τὴν ζοφερὰν ψυχήν μου τῷ φωτί σου, ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

**Καταβασία.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑ

Ὠδὴ ε'. Ὁ Εἱρμός.

» Ὁ φωτισμὸς τῶν ἐν σκότει κειμένων, ἡ σωτη-
» ρία τῶν ἀπεγνωσμένων, Χριστὲ Σωτήρ μου,
» πρὸς σὲ ὀρθρίζω, Βασιλεῦ τῆς εἰρήνης, φώτισόν με τῇ
» ἐπιλάμψει σου· ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐκ ἐπί-
» σταμαι.

Τὸ ἀληθῶς ἀλατόμητον ὄρος, τὴν κεκλεισμένην πύλην καὶ πηγὴν τὴν ἐσφραγισμένην, τὸν πανευώδη καὶ θεόφυτον κῆπον, τὸν λειμῶνα τὸν ἐξανθήσαντα ἄνθος ἀφθαρσίας, ὑμνοῦμέν σε, Δέσποινα.

Νενηστευκὼς ἀρετῆς ἁπάσης, ἐνεφορήθην ἀπηγορευμένης τροφῆς εἰς κόρον, καὶ νῦν λιμώττω σωτηρίου τραπέζης, μετανοίας ἄρτῳ με στήριξον, ἄρτον ἡ τὸν θεῖον βαστάσασα τράπεζα.

Τὸ φοβερὸν ἐνθυμούμενος βῆμα τὸ τοῦ Υἱοῦ σου, τρέμω, τὰ δεινά μου γινώσκων ἔργα, Θεογεννῆτορ, ὑπερβαίνοντα πλήθους τῇ ἀμετρίᾳ ψάμμον παράλιον καὶ τὸν τῶν ἀστέρων χορὸν τὸν ἀμέτρητον.

Τῆς σῆς ἐκτὸς βοηθείας, Παρθένε, καὶ συνεργίας, μάταιος ὁ πόνος, κενὸς ὁ κόπος, ὁ τῶν ἀνθρώπων, ὁ ἱδρὼς καὶ ὁ μόχθος, καὶ ὁ σύμπας ἀγών· ὅθεν μοι σωθῆναι ποθοῦντι συνέργησον.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Ὁ ὁδηγὸς τῶν ἐν σκότει κειμένων, λάμψόν μοι αἴγλην θείαις τοῦ ὁσίου σου ἱκεσίαις, λῦσον τὰ



νέφη τῆς ἀθλίας ψυχῆς μου, ὄμβρισόν μοι ῥεῖθρα ἀφέσεως· ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐκ ἐπίσταμαι.

Λύμης παθῶν ἐκκαθάρας τὸ ὄμμα τῆς διανοίας, πάτερ Ἰωάννη, δι᾽ ἐγκρατείας, θείᾳ ἐντεύξει διανοῖξαι καὶ ἡμῶν πηρωθείσας τὰς κόρας σπεῦσον, ὅπως θεαρέστως ἐν κόσμῳ βιώσωμεν.

Μέγα ἐν σοὶ καὶ ἐξαίσιον θαῦμα ὁρᾶται, πάτερ. Τὸ μετὰ κηδείαν ὄντως χρονίαν διατηρεῖσθαι ἀδιάφθορον, μάκαρ, σοῦ τὸ σῶμα, ὅπερ ὁ Κύριος οὕτως ἐδόξασεν, εἰς σωτηρίαν ἡμῶν.

Θεοτόκιον.

Συνεκτικὸς κατ᾽ οὐσίαν ὑπάρχων ὁ Θεὸς Λόγος πάντων τῶν αἰώνων ἐν τῇ γαστρί σου, παρθενομῆτορ, συνεσχέθη ἀφράστως, τοὺς ἀνθρώπους καλῶν πρὸς τὸ ἑνιαῖον τῆς μιᾶς θεότητος.

**Καταβασία.**

Ὠδὴ ς'. Ὁ Εἱρμός.

» Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξι-
» χνίαστον τῆς εὐσπλαγχνίας σου ἐπικαλοῦμαι ἄβυσ-
» σον· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. Δίς.

Ἐπὶ σὲ τὰς ἐλπίδας ἀνέθηκα τὰς τῆς σωτηρίας μου, Κόρη πανύμνητε· σὺ πρὸς ζωὴν ὁδήγησον τὴν ψυχήν μου χωροῦσαν εἰς θάνατον.

Τὴν πολλήν μου γινώσκεις ἀσθένειαν, καὶ τὴν ῥαθυμίαν ἐπίστασαι, Δέσποινα· ὡς οἶδας αὐτὴ σῶσόν με, καὶ ὡς θέλεις γεέννης με λύτρωσαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΦΙΛΙΠΠΟΥ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ τὸ πᾶν οὐσιώσας βουλήματι Λόγος συναΐδιος καὶ ὁμοούσιος Πατρὶ καὶ θείῳ Πνεύματι ἐκ Παρθένου φορεῖ τὴν οὐσίαν μου.

Ἐν πελάγει τοῦ βίου νηχόμενον ζάλη καὶ παθῶν τρικυμίαι δονοῦσί με· παῦσον τὸν σάλον Ἄχραντε, καὶ τὸν ἄστατον πράϋνον τάραχον.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Ὡς πολύτιμος ὄλβος κρυπτόμενος, πάτερ, εὐσεβέσιν ἐφάνης ὁράματι, καὶ δαδουχεῖς ἐν θαύμασι καὶ βραβεύεις ἰάσεις τοῖς δούλοις σου.

Ὥσπερ φοῖνιξ ἀνθήσας ἀνέτειλας ἐν τῇ Ἐκκλησίᾳ Χριστοῦ, χαριτώνυμε, τῇ τῶν καρπῶν γλυκύτητι κατευφραίνων πιστῶν τὰ πληρώματα.

Ἱερῶς σου τὸν βίον διήνυσας, καὶ μετὰ ὁσίων ὁσίως ἐσκήνωσας, ὑπὲρ ἡμῶν δεόμενος, τῶν πιστῶς, Ἰωάννη, τιμώντων σε.

Θεοτόκιον.

Τῆς ἀμέτρου πορώσεως ῥῦσαί με τὸν κεκρατημένον πολλοῖς πλημμελήμασι, θεοκυῆτορ Δέσποινα, καὶ χειρός με δαιμόνων ἐξάρπασον.

**Καταβασία.**

Κοντάκιον, Ἦχ. δ΄. **Ἐπεφάνης σήμερον.**

Τῶν λαμπρῶν ἀγώνων σου, ὅσιε πάτερ, ἡ ἁγία σήμερον ἐπέστη μνήμη, τὰς ψυχὰς τῶν εὐσεβῶν κατευφραίνουσα, ὦ Ἰωάννη, τῶν πίστει τιμώντων σε.

Ὁ Οἶκος.



Πῶς ἐξυμνήσω τοὺς σοὺς ἀγῶνας ὁ τάλας, ὅσιε πάτερ; τῶν δακρύων δὲ πῶς τὸ πέλαγος ἐπαινέσομαι; Σὺ γὰρ τῷ βίῳ ἐνδιαπρέπων τῶν Ἀγγέλων κατέλαβες χορείαν, τὰ πάθη ἐγκρατείᾳ νεκρώσας, σοφέ, καὶ σάρκα δουλαγωγήσας καθυπέταξας τῷ πνεύματι, καὶ τὸν τοῦ σκότους προστάτην κατῄσχυνας. Διὸ καὶ νῦν, τῷ θρόνῳ τοῦ Δεσπότου παριστάμενος, ὦ Ἰωάννη, πρεσβεύεις ὑπὲρ τῶν πίστει τιμώντων σε.

Καὶ ἀναγινώσκεται ὁ Συναξαριστὴς τῆς ἡμέρας, ἤτοι τῆς 27ης τοῦ Μαΐου.

**Εἶτα λέγομεν.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ρώσσου, τοῦ νέου ὁμολογητοῦ· ὅστις πωληθεὶς αἰχμάλωτος, καὶ ἐν τῇ κωμοπόλει Προκοπίῳ τῆς ἐν τῇ μικρᾷ Ἀσίᾳ Καππαδοκίας ἀχθείς, καὶ ἀσκητικῶς ἐκεῖ ἀγωνισάμενος, ἐκοιμήθη ἐν Κυρίῳ· κατὰ τὸ 1730.

»**Πλήρης χαρίτων ὁ αἰχμάλωτος ὤφθη,**

»**αἰχμαλωτίσας τοῦ σκότους τὸν προστάτην.**

Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. ὁ Εἱρμός.

» Εἰκόνος χρυσῆς, ἐν πεδίῳ δεηρᾷ λατρευομένης, οἱ
» τρεῖς σου παῖδες κατεφρόνησαν ἀθεωτάτου προ-
» στάγματος, μέσον δὲ πυρὸς ἐμβληθέντες δροσιζόμενοι
» ἔψαλλον· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

**Δίς.**

Η μόνη ἐλπὶς καὶ βοήθεια πιστῶν, Θεογεννῆτορ, σπεῦσον βοήθει τοῖς οἰκέταις σου, βυθιζομένοις τοῖς πάθεσι, καὶ ταῖς τῶν δαιμόνων ἀπάταις καὶ τρικυμίαις τῶν θλίψεων, καὶ καταφεύγουσιν εἰς σέ, ἐν πεποιθήσει ψυχῆς.

Λιμὴν ἀσφαλής, προστασία φοβερά, τεῖχος ἄρρηκτον, τοῖς ἐν ἀνάγκαις κινδυνεύουσι, Θεοτόκε, ὑπάρχουσα ταῖς πρὸς τὸν Υἱόν σου πρεσβείαις, χειμαζομένους ἐκ θλίψεων καὶ πολυτρόπων πειρασμῶν σῶζε τοὺς δούλους σου.

Πατρὶ συμφυῶς τὸν νοούμενον Υἱόν, δυνάμει τοῦ Πνεύματος τοῦ Παναγίου, ἐσωμάτωσας, Θεοχαρίρωτε. Τοῦτον οὖν ἀπαύστως δυσώπει οἰκτειρῆσαι τοὺς μέλποντας· Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Παρθένε σεμνή, ἀπειρόγαμε, ἁγνή, εὐλογημένη, καταπιπτόντων ἐπανόρθωσις, ἁμαρτανόντων ἡ λύτρωσις, σῶσόν με τὸν ἄσωτον, σῶσον, καὶ αἰωνίου κολάσεως ἐξάρπασον ὡς συμπαθής, ἵνα δοξάζω σε.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Ὡραίαν στολήν, τῶν καμάτων ἱδρῶσι πεποικιλμένην, περιεβάλου ἀνταμοιβὴν τῆς ἧς ὑπέστης γυμνώσεως, ἔχων ἐπὶ σοὶ τὸ σαρκίον, καὶ κραυγάζων Παντάνακτι· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἁγίων ψυχαί, τῶν ὁσίων τε χορὸς καὶ ἡ ἀσώματος τῶν Ἀγγέλων τάξις προσεδέξαντο συγχορευτήν σε, πατὴρ ἡμῶν· κακουχίαις γὰρ πολλαῖς παλαίσας, μελῳδεῖς ἀγαλλόμενος· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.



Νεώσας ψυχὴν τῷ ἀρότρῳ προσευχῆς, ὦ Ἰωάννη, καὶ κατασπείρας τὴν ἐγκράτειαν, στάχυν ἁγνείας ἐθέρισας, ἣ συνδιαιτώμενος, μάκαρ, σὺν Ἀγγέλοις ἐκραύγαζες· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτόκιον.

Εἰς σὲ τὴν ἐμὴν ἀνεθέμην ἐκ ψυχῆς ἐλπίδα πᾶσαν, καὶ ἀτενίζω προσδεχόμενος τὴν θείαν ὄντως παράκλησιν· πρόφθασον, Ἁγνὴ Θεοτόκε, καὶ χαρίτωσον τρίβον μου, ὅπως ψάλλω πρὸς Θεὸν τὸν τῶν πατέρων ἡμῶν.

**Καταβασία.**

Ὠδὴ η΄. Ὁ Εἱρμός.

»Τὸν ἐν καμίνῳ τοῦ πυρὸς τῶν Ἑβραίων τοῖς παισὶ
»συγκαταβάντα καὶ τὴν φλόγα εἰς δρόσον μετα-
»βαλόντα Θεὸν ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυ-
»ψοῦτε εἰς πάντας τοὺς αἰῶνας. **Δίς.**

Ζῶσα ὑπάρχουσα πηγή, ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα, τὴν ψυχήν μου τακεῖσαν τῆς ἁμαρτίας φλογμῷ, Παρθένε Θεοτόκε, πότισον, καὶ τῆς αἰωνίου ἐξάρπασον φλογός με.

Νυγεὶς τῷ βέλει τοῦ ἐχθροῦ, τὴν ψυχὴν ὁλοτελῶς ἐτραυματίσθην, καὶ ἀνίατα πάσχω· ἡ τὸν Σωτῆρα Χριστὸν ἀρρήτως τεκοῦσα, Πανάμωμε, ἴασαί με, σῶσον, ἐλπίς μου ἡ βεβαία.

Νενεκρωμένον νοητῶς ἐξ ἀμέτρων μου κακῶν ἀνάστησόν με, Κόρη, τῇ πρεσβείᾳ δὲ τῇ σῇ, ἐκ πάσης ἀπάτης με λύτρωσαι τῆς τοῦ ψυχοφθόρου ἐχθροῦ καὶ παλαμναίου.

Τῆς ἐκφοβούσης με ὀργῆς τοῦ Υἱοῦ σου καὶ Θεοῦ Ἁγνή με ῥῦσαι, καὶ ἐν ὥρᾳ τῆς δίκης ὡς παντοδύναμος, πρόφθασον, ἑτοίμη βοήθεια, καὶ τῶν εὐωνύμων ἐρίφων λύτρωσαί με.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Νῦν ἡ ἀξίνη τῶν πιστῶν ἀπειλεῖ τὴν ἐκτομήν, ψυχή μου, σπεῦσον, καὶ παθῶν τὰς ἀκάνθας ἀποτεμοῦσα, καρποὺς ὡρίμους Κυρίῳ προσάγαγε, ταῖς τοῦ Ἰωάννου εὐχαῖς δυναμωθεῖσα.

Ἡ ἱερά σου πρὸς Θεὸν ἐκδημία ἱερῶς ἐμεγαλύνθη, προπομπαῖς τῶν ὁσίων καὶ ἀσωμάτων χοροῖς, ὧν ἔσχες ἐν γῇ τὸ πολίτευμα, βλάστημα Ρωσσίας, ὦ Ἰωάννη μάκαρ.

Μυστηρίων ὑπερφυῶν ἐν τῇ ἐξόδῳ μετασχεῖν σου θέλοντος, ἠνέχθη σοι ἐκ φόβου ἐν μέσῳ μήλου, σῶμα καὶ αἷμα τὸ ζωοπάροχον, Χριστοῦ, ὃν ἀγαπήσας πρὸς οὐρανὸν ἀνῆλθες.

Θεοτόκιον.

Ὁ καθαρώτατος ναὸς τοῦ Λυτρωτοῦ μου καὶ Σωτῆρος, καὶ Θεοῦ ὁ περίδοξος θρόνος, ὁ ὑψηλὸς Οὐρανός, ὁ ὄντως ἄσυλος παράδεισος, ἄνοιξόν μοι πύλας, Δέσποινα, παραδείσου.

**Καταβασία.**



Ὠδὴ θ΄. Ὁ Εἱρμός.

»Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀρρήτῳ σοφίᾳ ἥκοντα καινουργῆσαι τὸν Ἀδάμ, βρώσει φθορᾶς »πεπτωκότα δεινῶς, ἐξ ἁγίας Παρθένου ἀφράστως »σαρκωθέντα δι' ἡμᾶς οἱ πιστοὶ ὁμοφρόνως ἐν ὕμνοις »μεγαλύνωμεν. **Δίς.**

Ὑπεραγία Παρθένε, Ὑπεράμωμε Κόρη, Ὑπέραγνε, Πανύμνητε, Σεμνή, ἅρμα τοῦ Λόγου ὑπέρφωτον, τῆς ἀθλίας ψυχῆς μου τὸ φῶς καὶ πνοή μου καὶ ζωή, ὥσπερ οἶδας, ὡς θέλεις, ἐλέησον καὶ σῶσόν με.

Φιλανθρωπίας με θείας καταξίωσον Κόρη, ἡ μόνη τὸν φιλάνθρωπον Θεὸν σάρκα ἐκ σοῦ δανεισάμενον, ἀπορρήτως τεκοῦσα, καὶ λύτρωσαι μελλούσης με φλογὸς καὶ κολάσεως πάσης τὸν πόθῳ σε δοξάζοντα.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον τὴν πολλαῖς σκοτισθεῖσαν παθῶν ἐπαγωγαῖς ταπεινὴν καρδίαν μου φωταγώγησον, Κόρη, σταγόνας χορηγοῦσά με ἀεὶ δακρύων, ὅπως πλύνω τὸν ῥύπον τῶν πταισμάτων μου.

Σύ με δικαίωσον ὅτε φανεροῦνται, Παρθένε, τὰ κρύφια ἑκάστου ἐμφανῶς· ἔχεις γὰρ τὸ δύνασθαι· καὶ τοῦ σκότους με ῥῦσαι, ἐν χώρᾳ δὲ κατάταξον φωτός, ἔνθα εὐφραινομένων χαρὰ ἡ ἀνεκλάλητος.

Τοῦ Ἁγίου· ὁ αὐτός.

Ἀπαρυσάμενος, Πάτερ, ἐκ πηγῆς ἀεννάου, τοῦ Πνεύματος τὴν χάριν δαψιλῶς, ὦ Ἰωάννη μακάριε, ταύτην πᾶσι παρέχεις ἀφθόνως τοῖς τὴν μνήμην σου πιστῶς ἐκτελοῦσι καὶ πόθῳ τὸν Κτίστην μεγαλύνουσι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Κρουνοὺς ἡ θήκη σοῦ σκήνους τοῖς θερμῶς προσιοῦσι πηγάζει ἰαμάτων παμπληθεῖς, Ἰωάννη πατὴρ ἡμῶν, καὶ νοσήματα παύει, καὶ πάντων ἁγιάζει τὰς ψυχὰς τῶν ἐν πίστει καὶ πόθῳ ἀεὶ μακαριζόντων σε.

Σὺν Ἀποστόλοις χορεύων καὶ ὁσίων τοῖς δήμοις, ἁγίων τε τοῖς πλήθεσι, σοφέ, ἐν οὐρανίοις σκηνώμασι, πατὴρ ἡμῶν Ἰωάννη, ἱκέτευε τὸν Κτίστην καὶ Θεὸν ὑπὲρ τῶν νῦν τελούντων πιστῶς τὴν σεπτὴν μνήμην σου.

Θεοτόκιον.

Ὡς κραταιὰν προστασίαν, ὡς ἐλπίδα καὶ τεῖχος καὶ ἄγκυραν, καὶ σκέπην ἀσφαλῆ, ὡς ἀπροσμάχητον ἔρεισμα καὶ ἀχείμαστον ὅρμον, καὶ μόνην κραταιὰν καταφυγὴν κεκτημένοι σε πάντες σωζόμεθα, Πανύμνητε.

**Καταβασία.**

Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Φρικτὸν ἰδόντες θέαμα, ἐξέστησαν οἱ ἄφρονες· φῶς γὰρ ἦν λάμπον ἅγιον τῷ τοῦ ὁσίου μνήματι· διὸ πιστοῖς ἐμήνυον θαῦμα τὸ ὑπερθαύμαστον, οἱ δὲ καὶ ἀνασκάψαντες εὗρον ἀσύλητον ὄλβον, τὸ Ἰωάννου σκῆνος.

Καὶ τῆς Ἑορτῆς· ἢ Θεοτόκιον.

**Εἰς τοὺς Αἴνους** ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.



Ἦχος πλ. δ΄. **Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος! τοῖς δυσσεβέσι συνὼν Ἰωάννης ὁ ἔνθεος, καθαρὸς τῷ σώματι καὶ ψυχῇ ὅλος γέγονε, κοιτῶνα ἔχων τὸ ἱπποστάσιον, τρυφὴν τὰς ὕβρεις καὶ τὰ λακτίσματα· τήν τε γυμνότητα καὶ τὸ ψῦχος· ἅπαντα διὰ Χριστὸν ἤνεγκε στερρότατα ὁ τρισμακάριστος. **Δίς.**

Δεῦτε μοναστῶν τὸ σύστημα τὴν ἱερὰν καὶ σεπτὴν τοῦ ὁσίου πανήγυριν, Ἰωάννου σήμερον εὐσεβῶς εὐφημήσωμεν· οὗτος γὰρ ὄντως θείας ἐλλάμψεως κατηξιώθη τὸ φῶς εἰσδέξασθαι· ὢ τῆς ἀρρήτου σου προμηθείας, Δέσποτα, δι᾽ ἧς ἡμεῖς ἔγνωμεν δοξάζειν σε τὸν ἀκατάληπτον.

Αἴγλη τριφαοῦς Θεότητος, ἡ ἐνοικοῦσα ἐν σοί, θαυμαστόν σε ἀνέδειξεν, ὅτι πνευματέμφορος ἐκ τῶν θείων λειψάνων σου ἐδείχθης, μάκαρ· ὅθεν τιμῶμέν σου ψαλμοῖς καὶ ὕμνοις μνήμην τὴν ἔνθεον οἱ προσπελάζοντες τῇ σορῷ σου, ὅσιε, καὶ τῇ μορφῇ τῆς σεπτῆς εἰκόνος σου, θεομακάριστε.

ΠΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Δόξα,** ἦχος πλ. β'.

Τίς μὴ ἐπαινέσει σε τὸν ὄντως ἀξιέπαινον; Ἢ τίς μὴ θαυμάσει σου τὸν τρόπον τὸν ἀξιοθαύμαστον; Οὐ γὰρ ἠρκέσθης, χαριτώνυμε, ἐν τῇ τῆς αἰχμαλωσίας κακουχίᾳ, ἀλλ' ἔσπευσας αὐξῆσαι αὐτὴν διὰ τῶν ἀσκητικῶν καμάτων καὶ ἱδρώτων. Οὐκ ἐπτοήθης δὲ τὸ σύνολον, τοῦ φυλάττειν σεαυτὸν ἐν εὐσεβείᾳ, ἐνώπιον τῶν δυσσεβῶν καὶ ἀνόμων. Ὕβρεις καθυπέμεινας καὶ γυμνότητας καὶ πᾶσαν ἄλλην θλῖψιν. Διὰ πολλῶν γὰρ ἐπειράσθης, καὶ δι' ὑπομονῆς ἐδοκιμάσθης ἐκ Θεοῦ, Ἰωάννη, ὄντως μακάριε· ὃν ἱκέτευε, δεόμεθα, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν,** τῆς τυχούσης Ἑορτῆς. Εἰ δὲ μή· τὸ Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.
Δοξολογία μεγάλη καὶ ἀπόλυσις.
**Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.**

**Εἰς τὴν λειτουργίαν·** Τυπικά· καὶ αἱ ᾠδαί, γ'. καὶ στ'.

**Ἀπόστολος·** Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· (ζήτει εἰς τὴν 26ῃ Ὀκτωβρίου).

**Εὐαγγέλιον.** Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· (ζήτει εἰς τὴν 17 Ἰανουαρίου).

**Κοινωνικόν·** Εἰς μνημόσυνον αἰώνιον.
**Καὶ ἀπόλυσις.**

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ
## ΚΑΙ ΜΕΡΙΚΩΝ ΘΑΥΜΑΤΩΝ ΔΙΗΓΗΣΙΣ
## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΩΑΝΝΟΥ ΤΟΥ ΡΩΣΣΟΥ
## ΤΟΥ ΝΕΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

**Εὐλόγησον Πάτερ!**

Ἰδοὺ συγκαλεῖ σήμερον ἡμᾶς, ὦ χριστεπώνυμον ἄθροισμα, καὶ σεμνὸν σύστημα, ὁ φιλόστοργος οὗτος καὶ ἀναίμακτος μάρτυς τοῦ Χριστοῦ, ὁ πολύαθλος Ἰωάννης, ὁ Ρῶσσος, εἰς τὸ πανίερον τοῦτο καὶ πνευματικὸν αὐτοῦ τέμενος, εἰς τὴν λαμπρὰν αὐτὴν πανήγυριν. Ἐπέστη ὁ καιρὸς τῆς ἱερᾶς καὶ χαριτωνύμου αὐτοῦ μνήμης, θείων δωρεῶν γενόμενος πρόξενος. Ἐφέλκεται πρὸς ἑαυτὴν ἡ ἐτήσιος καὶ εὔσημος αὕτη ἑορτὴ τὰ φιλόχριστα πλήθη, εὐεργετεῖν συνήθως ἐθέλουσα. Διό, τὸ σεβάσμιον καὶ πανόσιον τοῦ θαυματουργοῦ Ἰωάννου σκῆνος περικυκλοῦντες, πάντες ἀξιοχρέως, ἅμα καὶ εὐλαβῶς, τιμήσωμεν ἐπαινοῦντες αὐτοῦ τὴν ἄδολον ἀρετὴν καὶ τὴν θερμότητα τῆς πίστεως. Καὶ ὁ μέν, μετὰ τοῦ προφητάνακτος ἐγκωμιαζέτω· «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ»· ὁ δὲ ἐκφωνείτω· «Εὐφραινέσθωσαν [οἱ οὐ]ρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ»· καὶ ἄλλος· «Μνήμη δικαίου μετ'

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐγκωμίων» καὶ ἕτερος· «Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας, ἐν σκηναῖς δικαίων». Καὶ πάντες ὁμοῦ, τῇ δόξῃ αὐτοῦ συγχαίροντες, ἐξαιτησώμεθα παρ' αὐτοῦ πᾶν ἐφετὸν καὶ σωτήριον.

Τούτων δὲ πάντων ὑπόθεσις ὁ θαυμασιώτατος καὶ χαριτώνυμος Ἰωάννης, ὁ τῆς ἐνδόξου καὶ μεγίστης Ρωσσίας εὐκλεέστατος γόνος, καὶ τῆς Καππαδοκίας καὶ τοῦ ἡμετέρου Προκοπίου τὸ ἀγλάϊσμα. Ὃν ἡμεῖς σήμερον ὑμνεῖν βουλόμεθα μὲν οὐ δυνάμεθα δέ, διὰ τὸ ἀνεπαρκὲς τῆς εὐτελοῦς ἡμῶν διανοίας καὶ ἰδιωτικῆς ἐν τῷ λόγῳ καταστάσεως. Καὶ πράγματι. Τοὺς γὰρ ὑπὲρ ἄνθρωπον ζήσαντας, πῶς ἄνθρωποι ἐπαξίως τιμήσωμεν; Καὶ μάλιστα τὸν ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς ἐν σημείοις καὶ θαύμασι διαλάμψαντα ὁσιώτατον τοῦτον φωστῆρα καὶ ἐφάμιλλον κατὰ πάντα τοῖς παλαιοῖς ἐκείνοις ὁγίοις Πατράσι, κατά τε τὴν ὁμολογίαν καὶ τὴν ὑπεράνθρωπον ἄσκησιν; Οὗτος, διὰ τῆς ἄκρας αὐτοῦ καρτερίας, καὶ τῆς εἰς τὴν πίστιν τῶν πατέρων ἡμῶν ἀφοσιώσεως, οὐ μόνον μέγας Ὁμολογητὴς ἀνεδείχθη, ἀλλὰ καὶ θαυματουργός, καταπλήξας ἅπαντας διὰ τῶν ὑπερφυῶν αὐτοῦ θαυμάτων, καθὼς ἐν τῇ ζωῇ κατέπληξε διὰ τῆς ὑψοποιοῦ αὐτοῦ ταπεινώσεως. Οὗτος μετὰ τῶν ἁγίων Ἀγγέλων κύκλῳ τοῦ θρόνου τῆς θείας μεγαλωσύνης παριστάμενος, ἀλλὰ καὶ ἀοράτως ἐν μέσῳ ἡμῶν εὑρισκόμενος, δαψιλῶς τοῖς προσερχομένοις τὰς δωρεὰς παρέχει. Βαβαί, τῶν παραδόξων θαυμάτων! Ποίοις λόγοις εὐφημήσωμεν τοῦτον τὸν ὡς ἀληθῶς πολύαθλον καὶ πολυθαύμαστον; Ποίοις κρότοις ἐπαινέσωμεν τούτου τοὺς ἄθλους; Ποίοις τρόποις ἀνυμνήσωμεν τούτου τὰ θαύματα; Διερράγη τοῦ πολύτλα ἡ φύσις, ἀλλ' οὐκ ἐλύθη ἡ πίστις. Ἐκεῖ ἐν τοῖς οὐρανοῖς Χριστῷ τῷ Θεῷ παρίσταται, καὶ τῶν ἐνταῦθα οὐδόλως ἀφίσταται. Ἐκεῖ πρεσβεύει καὶ ὧδε θαυματουργεῖ. Κοιμῶνται τὰ λείψανα καὶ κηρύττει τὰ πράγματα. Ἡ γλῶσσα σιγᾷ, καὶ τὰ θαύματα κράζουσιν.

Ἀλλ' ὅσον θαυμάσια, τῷ ὄντι, καὶ ἄξια διηγήσεως εἰσὶ τῶν παλαιῶν μαρτύρων τε καὶ ὁσίων τὰ ἔνθεα κατορθώματα, τοσοῦ-



τον ἄξια ἐκπλήξεως καὶ θαυμασμοῦ εἰσὶ τὰ ἐν τοῖς καθ' ἡμᾶς καιροῖς διακηρυττόμενα θαυματουργήματα τῶν νεωτέρων ἁγίων. Καὶ ἐπειδὴ ἡ ἔλλειψις σήμερον τοιούτων ἁγίων ποιεῖ τοὺς ἀνθρώπους προφασίζεσθαι, ὅτι τῷ τότε καιρῷ ἐγίνοντο οἱ ἅγιοι, καὶ οὐχὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ἐν οἷς ἠσθένησεν, ὡς λέγουσιν, ἡ φύσις, καὶ ἐξέλιπον τὰ καλὰ παραδείγματα, διὰ τοῦτο ὁ σήμερον ἑορταζόμενος ἅγιος Ἰωάννης ἀνατρέπει ὁλοσχερῶς τὴν ἡμαρτημένην ταύτην καὶ παράλογον τῶν πολλῶν δόξαν, διακηρύττων, ὅτι, οὐχὶ ὁ καιρός, ἄπαγε! καὶ αἱ περιστάσεις ἀναδεικνύουσι τὸν ἀγωνιστὴν καὶ ἅγιον ἄνδρα, ἀλλ' ἡ καλὴ καὶ θεάρεστος γνώμη, συνακολουθούσης πάντοτε καὶ τῆς θείας χάριτος.

Οὐδείς, ὅθεν, δύναται δικαιωθῆναι ἐνώπιον τοῦ Θεοῦ, ἐὰν μὴ πολιτευθῇ θεαρέστως ἐν τῇ παρούσῃ ζωῇ, προφασιζόμενος ὅτι οὐκ εἶχεν ἁρμόδιον τὸν καιρόν, ἢ ὅτι οὐχ εὑρέθη εἰς τόπον τὸν πρέποντα, ἢ ὅτι οὐκ εἶχε, τέλος, ἐκεῖνα τὰ μέσα, ἅπερ συνετέλουν πρὸς τὸν περὶ οὗ ὁ λόγος σκοπόν. Οὐχ ἧττον δέ, ἀληθές ἐστι καὶ τοῖς περιπαθῶς τὴν σωτηρίαν αὐτῶν ἐπιζητοῦσιν ὁμολογούμενον, ὅτι πρὸς τὴν ἐξάσκησιν τῆς ἀρετῆς ὀφείλει τις ἵνα ᾖ μακρὰν τῶν προκαλουσῶν τὴν ἁμαρτίαν αἰτιῶν. Καθόσον, ἐκεῖνος ὅστις οὐ μακρύνει ἑαυτὸν ἐκ τῶν αἰτιῶν τῶν παθῶν ἑκουσίως, ἀκουσίως ὁ τοιοῦτος ὑπὸ τῆς ἁμαρτίας αἰχμαλωτίζεται.

Τοῦτο κατανοήσαντες πολλοὶ τῶν ἁγίων πατέρων καθίδρυσαν ἱερὰς μονὰς καὶ ἀσκητήρια, ὑφορώμενοι τὸν ἐν τοῖς ἐφαμάρτοις αἰτίοις τοῦ κόσμου καθ' ἡμῶν ἐλλοχεύοντα κίνδυνον. Ὑπὸ τὸ κράτος δὲ τοιούτων ἰδεῶν διατελῶν καὶ ὁ οὐρανοφάντωρ Πατὴρ ἡμῶν Μέγας Βασίλειος ἔγραφε πρὸς τὸν ἑαυτοῦ φίλον Γρηγόριον τὸν Ναζιανζηνόν, ὅτε διετέλει ἐρησυχάζων ἐν τοῖς κατὰ Πόντον ἀσκητηρίοις, λέγων· «Κατέλιπον τὰς ἐν ἄστει διατριβάς, ὡς μυρίων κακῶν ἀφορμάς.»(1) Πλὴν οὗτοι οἱ ἁγιώτατοι πατέρες ἡμῶν ὕστερον διὰ τῆς καθαρᾶς αὐτῶν πολιτείας ἀνεφάνησαν ὡς ἀστέρες

(1) Ἐπιστ. Β'. Γρηγορ. ἑταίρῳ.

φαεινότατοι ἐν τῷ κόσμῳ καὶ διέλαμψαν ἐν σημείοις καὶ θαύμασι, διακοσμήσαντες τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, πολυειδῶς τε καὶ πολυτρόπως, διά τε τῶν ἀθανάτων αὐτῶν συγγραμμάτων, καὶ ὑπερφυῶν αὐτῶν καὶ ἐναρέτων πράξεων καὶ διδασκαλιῶν. Βλέπομεν δ' ὅμως, ὅτι καὶ πολλοὶ ἐντὸς τοῦ κόσμου διατρίψαντες τὰ αὐτὰ ἔπραξαν, ἅπερ καὶ οἱ ἐν τοῖς ὄρεσι καὶ ταῖς ἐρημίαις ἐφησυχάζοντες μοναχοί. Οἱ τοιοῦτοι δέ, ἐπειδὴ ἀντεπεξῆλθον κατὰ τῶν τοῦ πολυσχεδοῦς κόσμου διαφόρων πλεκτανῶν καὶ προσβολῶν, καὶ ἀντέστησαν κατὰ τῶν πολυειδῶν παγίδων τοῦ δολομήτου Σατάν, καὶ κατήσχυναν τὸν ἐχθρόν, πρέπει βεβαίως ἵνα ἐκθειάζωνται καὶ περισσότερον· καὶ μάλιστα, ὅσοι κατὰ τοὺς παρόντας καιρούς, ἢ καὶ ὀλίγῳ πρὸ ἡμῶν, τοῖς τῶν παλαιῶν ἁγίων ἴχνεσιν ἐπακολουθήσαντες, διὰ μαρτυρικοῦ θανάτου, ἢ δι' ἀσκητικῆς πολιτείας ἐδόξασαν τὸν Θεόν.

Διὰ τοῦτο, καὶ εἰς τὸν σήμερον παρ' ἡμῶν ἑορταζόμενον ἅγιον τοῦτον Ἰωάννην ὀφείλεται μεγάλη τιμὴ καὶ ἀνείκαστος παρ' ἡμῶν εὐλάβεια. Διότι, οὐ μόνον εἰς τὸν κόσμον ἐτύγχανεν, ἀλλὰ καὶ εἰς τὴν ὑπηρεσίαν ἀμαθοῦς καὶ ἀπολιτίστου τῶν καιρῶν ἐκείνων μεγιστᾶνος διατελῶν καὶ πολλοὺς παρ' αὐτοῦ προπηλακισμοὺς καὶ ὕβρεις ὑπομένων, καὶ καθ' ἑκάστην παρ' αὐτοῦ ἐκβιαζόμενος πρὸς τὴν τῆς πίστεως αὐτοῦ ἄρνησιν, οὐ μόνον ἀκλινὴς καὶ ἀήττητος ἔμεινεν, ἀλλὰ καὶ ἐντὸς τοιούτων δεινῶν αἰτιῶν καὶ κινδύνων εὑρισκόμενος, καὶ πολυτρόπως ἐμπαροινούμενος, κατώρθωσεν ἵνα φθάσῃ πρὸς τὴν τῆς ἀρετῆς δυνατὴν ἀνθρώπῳ τελειότητα. Τούτου τοίνυν τοῦ ἁγίου τὸν συνοπτικὸν βίον καὶ τὰ ἔνθεα κατορθώματα, ἅμα δὲ καὶ μερικῶν αὐτοῦ θαυμάτων διήγησιν θέλοντες σήμερον ἵνα ἐκθέσωμεν, ὦ φιλόχριστοι ἀκροαταί, πρὸς τὴν ὑμετέραν ἀγάπην, παρακαλοῦμεν ὅπως ἀνοίξητε τὰ ὄμματα τῆς διανοίας ὑμῶν, καὶ ἀκούσητε ταῦτα προθύμως καὶ προσεκτικῶς, ἵνα καὶ ὠφεληθῆτε ψυχικῶς.

Οὗτος, τοίνυν, ὁ χάριτος πεπληρωμένος ἐκ νεαρᾶς αὐτοῦ ἡλικίας χαριτώνυμος Ἰωάννης, κατήγετο ἔκ τινος χωρίου τῆς



Μικρᾶς Ρωσσίας. Εἶχε γεννήτορας εὐσεβεῖς καὶ ὀρθοδόξους, οἵτινες καὶ ὠνόμασαν αὐτὸν ἐν τῷ ἁγίῳ βαπτίσματι Ἰωάννην. Τραφεὶς δὲ παρ' αὐτῶν, ἐκ νεαρᾶς ἡλικίας, τῷ γάλακτι τῆς εὐσεβείας, καὶ διδαχθεὶς ἐπιμελῶς τὰ δόγματα τῆς ἀμωμήτου ἡμῶν πίστεως, ἐσπούδαζε, προϊόντος τοῦ χρόνου, ὅπως βελτιώσῃ καθ' ἑκάστην τὸν βίον αὐτοῦ, ἀπέχων ἀπὸ κακῶν συναναστροφῶν καὶ συνομιλιῶν τῶν ὁμηλίκων αὐτοῦ γινώσκων θεόθεν πόσον αἱ κακαὶ συναναστροφαὶ φθείρουσιν ἤθη χρηστά. Ἀγαπῶν δὲ καθ' ὑπερβολὴν τὸν δημιουργὸν αὐτοῦ Θεόν, ἐφρόντιζεν ἵνα φυλάττῃ ἀκριβῶς πάσας τὰς ἐντολὰς αὐτοῦ καὶ εὐαρεστήσῃ αὐτῷ. Ὡς δὲ ἔφθασεν εἰς νόμιμον ἡλικίαν, ἀνέλαβε στρατιωτικὴν ὑπηρεσίαν, καὶ διέμεινε μετὰ πολλῆς ὑπομονῆς ἐν αὐτῇ, ἕως οὗ ἠγέρθη ὁ μέγας ρωσσοτουρκικὸς πόλεμος, ὁ ἐπὶ τοῦ αὐτοκράτορος πασῶν τῶν Ρωσσιῶν Πέτρου τοῦ Μεγάλου, ὅτε σὺν πολλοῖς ἐκστρατεύσας καὶ ὁ Ἰωάννης, ἐνικήθη μετὰ τοῦ ὅλου στρατοῦ ἐν τῷ πολέμῳ καὶ ᾐχμαλωτίσθησαν παρὰ τῶν γειτνιαζόντων αὐτοῖς Τατάρων(1), οἵτινες καὶ ἐπώλησαν αὐτὸν εἴς τινα ἵππαρχον, ὃς καὶ συναπήγαγε τοῦτον ἐν τῇ ἑαυτοῦ πατρίδι, ἐν τῇ ἐν Μικρᾷ Ἀσίᾳ ἡμετέρᾳ κωμοπόλει, καλουμένῃ Προκόπιον (Οὐρκιοὺπ), ἀπεχούσῃ τῆς Καισαρείας δώδεκα περίπου ὥρας.

Κατὰ παράδοσιν, ἥν, παρὰ τῶν γονέων αὐτῶν παραλαβόντες, διηγοῦνται πλεῖστοι τῶν γεροντοτέρων χριστιανῶν κατοίκων τῆς κωμοπόλεως ταύτης, πολλοὶ τότε τῶν συναιχμαλώτων τοῦ ἁγίου Ἰωάννου, οἱ μέν, δελεασθέντες ἐκ τῶν ἐπιγείων καὶ προσκαίρων ἀγαθῶν, τῶν προσφερομένων αὐτοῖς ὑπὸ τῶν κυρίων αὐτῶν, οἱ δέ, ἐνδόσαντες ταῖς κακοδαιμονίαις τῶν καιρῶν, ἐξωμο-

(1) Ἐκ τῶν συναιχμαλώτων τοῦ ἁγίου Ἰωάννου εἷς ἦν καὶ ὁ ἅγιος ὁσιομάρτυς Παχώμιος, ὅστις ἐμαρτύρησεν εἰς τὸ νῦν λεγόμενον Οὐσάκιον, τὸ ἐν τῇ ἐπαρχίᾳ τῆς Φιλαδελφίας κείμενον. Τὸ ἱερὸν αὐτοῦ λείψανον εὑρίσκεται τεθησαυρισμένον ἐν τῇ κατὰ Πάτμον ἱερᾷ μονῇ τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. Ὅρα Νέον Μαρτυρολόγιον, σελ. 114.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡ ΠΑΠΑΣΤΡΑΤΟΥ

σαν, φεῦ! καὶ ἠρνήθησαν τὴν ἁγίαν πίστιν τῶν πατέρων αὐτῶν. Ἀλλ' ὁ ἀτρόμητος τοῦ Χριστοῦ ἀθλητὴς Ἰωάννης τὰ μὲν προσφερόμενα αὐτῷ ἀγαθά, ἅτε ἐπίγεια ὄντα καὶ πρόσκαιρα, εἰς οὐδὲν ἐλογίζετο· ἔχων δὲ τὸν νοῦν αὐτοῦ προσηλωμένον εἰς τὸν ἐσταυρωμένον τοῦ κόσμου Σωτῆρα, τὰς μὲν βασάνους μεγαλοψύχως ὑπέμενε, τὰς πολλαχῶς ἐπιφερομένας αὐτῷ δι' ὕβρεων, ραβδισμῶν, καὶ στερήσεων, τὴν πίστιν ὅμως τῶν προγόνων οὐδαμῶς ἠρνήσατο, καίτοι ἐπανειλημμένως εἰς τοῦτο βιασθείς. Ἀνθίστατο δὲ μᾶλλον τῷ κυρίῳ αὐτοῦ στερρῶς, καὶ ἔλεγεν αὐτῷ ἀποστολικῶς· «Τίς μὲ χωρίσει τῆς ἀγάπης τοῦ Χριστοῦ μου; θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ γυμνότης; ἢ αἰχμαλωσία; Πέποιθα ἐπὶ τῷ Κυρίῳ μου Ἰησοῦ Χριστῷ, τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ, ὅτι οὐδὲν ἐκ τούτων θέλει μὲ χωρίσει τῆς ἀγάπης αὐτοῦ. Ἀλλ' οὐδὲ αἱ ἀπατηλαὶ ὑποσχέσεις σου θέλουσι μὲ δελεάσει ἵν' ἀρνηθῶ τὴν πίστιν μου. Σὺ εἶ κύριος τοῦ σώματός μου, ἀλλ' οὐχὶ καὶ τῆς ψυχῆς μου. Ἐγώ εἰμι, Ρῶσσος τὸ γένος, δοῦλος μὲν σός, καὶ πιστὸς τοσοῦτον εἰς σέ, καὶ εἰς τὸν ἐφ' ἡμᾶς τεταγμένον βασιλέα, ἀλλὰ πιστὸς καὶ εἰς τὸν ἐπουράνιόν μου Κύριον Ἰησοῦν Χριστόν. Καὶ ἐὰν μὲν ἀφίσῃς ἐλεύθερον ὅπως ἐκτελῶ τὰ τῆς θρησκείας μου καθήκοντα, πρόθυμος ἔσομαι καὶ εἰς τὰς προσταγάς σου, ἵνα πράξω δηλονότι εὐχαρίστως πᾶν ἔργον, οἱονδήποτε καὶ ἐὰν μοὶ ἐπιτάξῃς· ἐὰν ὅμως θελήσῃς ἵνα μὲ ἀποσπάσῃς τῶν φιλοστόργων κόλπων τῆς θρησκείας μου, εἴτε διὰ διαφόρων ἀπειλῶν, εἴτε καὶ διὰ ἀπατηλῶν ὑποσχέσεων, πλούτου, δόξης καὶ ἡδονῶν, γίνωσκε ἀκριβῶς, ὅτι οὐδὲν τούτων δύναταί ποτε ἵνα μὲ δελεάσῃ καὶ μὲ κλονίσῃ ἐν τῇ πίστει μου τῇ ἁγίᾳ. Ἐγὼ χριστιανὸς ἐγεννήθην, καὶ χριστιανὸς ἐπιθυμῶ ἀποθανεῖν. Καὶ ὡς τοιοῦτος, ἔχων πάντοτε πρὸ τῶν ὀφθαλμῶν μου τὸν ἀρχηγὸν καὶ Σωτῆρά μου, ὅστις ὡς βασιλικὴν κοιτίδα ἔσχε ποτε τὴν φάτνην ἐν Βηθλεέμ, εὐχαρίστως ἀναπαυθήσομαι ἐν τῇ σκοτεινῇ ταύτῃ γωνίᾳ τοῦ σταύλου σου, ἔνθα μὲ κατεδίκασες ἵνα διαμείνω. Ἔχων δὲ ὑπ' ὄψει μου καὶ τὸν κάλαμον, δι' οὗ οἱ στρατιῶται τὴν ἀκήρατον



αὐτοῦ κορυφὴν ἔτυψαν, προθύμως δέχομαι τοὺς παρὰ τῶν ἀνθρώπων καὶ τῶν ἐπιγείων κυρίων μου ραβδισμούς. Ἐνθυμούμενος δὲ ἀείποτε καὶ τὸν ἀκάνθινον στέφανον, ὃν ἐπὶ τῆς θείας αὐτοῦ κορυφῆς ἐπέθηκαν οἱ σταυρωταὶ αὐτοῦ, ἕτοιμός εἰμι ἵνα ὑπομείνω γενναίως καὶ τὴν λεκανίδα, (τάσι) ἣν ὑμεῖς πεπυρακτωμένην συνειθίζετε πολλάκις ἵνα προσκαλλᾶτε εἰς τὰς κεφαλὰς τῶν ἐπὶ κακουργήματι συλλαμβανομένων. Τέλος, τὰ μεγαλήτερα καὶ δεινότερα τῶν βασάνων πρόθυμος εἰμὶ ἵνα υποστῶ, ἐὰν θελήσῃς ἵνα μὲ καθυποβάλῃς εἰς τοιαῦτα, τὸν Χριστόν μου ὅμως οὐδέποτε ἀρνοῦμαι.» Οἱ δίκαιοι οὗτοι καὶ χριστιανικῆς θερμῆς πίστεως ἔμπλεοι λόγοι τοῦ ἁγίου, ἀτρομήτως προφερόμενοι ἐνώπιον τοῦ κυρίου αὐτοῦ, καὶ ἡ ταπεινὴ καθόλου διαγωγὴ καὶ ἡ λοιπὴ σώφρων αὐτοῦ συμπεριφορά, τοῦ τέως ἀπηνοῦς αὐτοῦ δεσπότου τὴν καρδίαν μετέβαλον, καὶ πρὸς εὐσπλαγχνίαν ἔκαμψαν. Ἔκτοτε δὲ ἐπαύσατο πλέον ἀναγκάζων αὐτὸν εἰς τὴν τῆς θρησκείας αὐτοῦ ἐξώμοσιν. Ἐπέβαλε δ' αὐτῷ μόνον ἵνα κατοικήσῃ ἔν τινι γωνίᾳ τοῦ σταύλου αὐτοῦ, καὶ θεραπεύῃ τοὺς προσφιλεῖς αὐτοῦ ἵππους, καί, ὅταν ἐξέρχηται ἀνὰ τὴν κώμην ἔφιππος, ἵνα παρακολουθῇ αὐτῷ ὡς ἱπποκόμος, κατὰ δουλικὴν ἐκείνων τῶν χρόνων συνήθειαν. Ταῦτα δὲ πάντα μετὰ μεγίστης εὐχαριστήσεως δεξάμενος ὁ ἅγιος, ἐδόξαζεν ἐνδομύχως τὸν Κύριον, τὸν λυτρώσαντα αὐτὸν ἀοράτως τοῦ μεγίστου πειρασμοῦ τῆς ἀρνήσεως καὶ κάμψαντα τὴν καρδίαν τοῦ κυρίου αὐτοῦ εἰς εὐσπλαγχνίαν. Ὅθεν καὶ ἔμεινεν εἰς τὸν βραχώδη καὶ σκοτεινὸν ἐκεῖνον σταῦλον, (1) ἐπιμελούμενος πάσῃ δυνάμει τῶν ἵππων τοῦ κυρίου αὐτοῦ.

Ἀλλά, τοὺς ἐκεῖ ὑπὲρ ἄνθρωπον ἀγῶνας αὐτοῦ, ἅτε τυχόν-

(1) Καίτοι πολλάκις ἡ οἰκία τοῦ ἐν λόγῳ ἱππάρχου ἐπεσκευάσθη, ὁ σταῦλος ὅμως διαμένει εἰσέτι οὕτως, ὡς εἶχε ζῶντος τοῦ ἁγίου Ἰωάννου, σκοτεινός, ἄνευ θυρίδος, λελατομημένος ἐν ἡφαιστειογενεῖ βράχῳ, καὶ ὅμοιος εὐρυχώρῳ σπηλαίῳ. Ἐπιτρέπεται δὲ νῦν ὑπὸ τῶν ἀπογόνων τοῦ ἱππάρχου ἡ εἰς αὐτὸν εἴσοδος παντὶ τῷ βουλομένῳ αὐτὸν ἐπισκέπτεσθαι.

τος, ὡς εἴπομεν, μερικῆς ἐλευθερίας, καὶ τὰ κατ' ἰδίαν ἀθλητικὰ
παλαίσματα τίς καταλεπτῶς διηγηθῆναι δύναται ; Τὴν πεῖναν
καὶ δίψαν, ἣν ὑπέμεινεν ὁ ἀοίδιμος ; τὰς ὁλονυκτίους γονυκλυ-
σίας καὶ προσευχάς, τὴν ἐν κοπρίᾳ μικρὰν αὐτοῦ ἀνάκλησιν, ὡς ὁ
μακάριος Ἰώβ ; Γυμνὸς καὶ ἀνυπόδητος ἐν ὥρᾳ χειμῶνος ἐξήρ-
χετο ἐπὶ τὴν ἐργασίαν, δῆλον οὖν τῶν ἵππων τοῦ κυρίου αὐτοῦ
ἀόκνως ἐπιμελούμενος· πρὸς δὲ τὰς ὕβρεις καὶ χλευάσματα τῶν
συνδούλων αὐτῷ εὐχαρίστως δεχόμενος, καὶ παντὶ τρόπῳ θερα-
πεύων αὐτούς. Πρόσθες τὰς ὁλονυκτίους στάσεις, καὶ τὰς ἀγρυ-
πνίας, τὰς ἐν τῷ νάρθηκι τοῦ ἐκεῖ πλησίον ἱεροῦ ναοῦ τοῦ ἁγίου
μεγαλομάρτυρος Γεωργίου γινομένας, εἰς ὃν κρύφα διὰ νυκτὸς κα-
τέφευγε, καὶ ἐδέετο τοῦ Θεοῦ, μεταλαμβάνων καὶ τῶν ἀχράντων
τοῦ Χριστοῦ Μυστηρίων, κατὰ πᾶν σάββατον ;

Διὰ τοῦτο, καὶ ὁ τὰ πάντα ἐφορῶν ἀκοίμητος ὀφθαλμὸς τοῦ
Ὑψίστου, ὁ ἀντιδοξάζων τοὺς αὐτὸν ἀδιαλείπτως δοξάζοντας, τί
περὶ αὐτοῦ ᾠκονόμησεν, ἀκούσατε. Καθὼς ποτε διὰ τοῦ προφήτου
Ἠλιοὺ τὴν Σαραφθίαν, καὶ διὰ Ἰωσὴφ τοῦ παγκάλου τὸν Πε-
τεφρῆν, οὕτω καὶ διὰ τοῦ ἁγίου τούτου Ἰωάννου τὸν δεσπότην αὐ-
τοῦ κατὰ πολλὰ ἐπλούτισε, καὶ περιφανέστατον αὐτὸν ἐν τοῖς
συμπολίταις αὐτοῦ ἀνέδειξεν. Ὅστις, εἰ καὶ ἀλλοεθνής, ἐγνώρισεν
ὅμως ἐκ τῶν πραγμάτων, ὅτι ἡ τοιαύτη πρὸς αὐτὸν εὐτυχία καὶ
ὁ πολὺς πλοῦτος ἐγένετο παρὰ τοῦ Θεοῦ εὐχαῖς τοῦ αἰχμαλώτου
αὐτοῦ Ἰωάννου. Τὸ ὁποῖον καὶ αὐτὸς προφορικῶς τοῖς πᾶσιν ἐκή-
ρυττε, καὶ γεγονός τι μετὰ ταῦτα, ὅλως παράδοξον καὶ ἀπροσδό-
κητον, ἐβεβαίωσεν· ὅτι τῷ κυρίῳ αὐτοῦ, ἐπισκεψαμένῳ τοὺς παρὰ
μωαμεθανοῖς ἁγίους τόπους καί ποτε κινδυνεύσαντι καθ' ὁδὸν,
παρῆν ὁ ἅγιος ἀεὶ νοερῶς συναντιλήπτωρ καὶ βοηθός, ἀπὸ κινδύ-
νων ρυόμενος, ἀπὸ νόσων προφυλάττων καὶ πᾶσαν αὐτοῦ τρίβον
ὁμαλίζων καὶ εὐθείας ποιῶν τὰς ἀνάντεις καὶ δυσβάτους ὁδούς.
Τοῦθ' ὅπερ οὐ διέλιπε μαρτυρῶν ὁ ἵππαρχος, καὶ τὴν εὐτυχίαν
καὶ σωτηρίαν ἀποδιδοὺς εἰς τὰς εὐχὰς Ἰωάννου τοῦ ἡμετέρου.

Οὕτως οὖν, θεαρέστως ἐκεῖσε μετὰ ταῦτα πολιτευσάμενος,



καὶ ἀσκητικῶς ἀγωνισάμενος, ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ
Ὁμολογητής, μετὰ παρέλευσιν χρόνων τινων, νόσῳ περιπεσὼν
προεγνώρισε τὴν ἐκ τοῦ προσκαίρου καὶ πολυκυμάντου τούτου
βίου ἔξοδον αὐτοῦ. Ὅθεν, προσκαλεσάμενος ἕνα τῶν ἱερέων τῆς
κωμοπόλεως, παρεκάλεσεν αὐτὸν ὅπως μετενέγκῃ τὰ ἄχραντα
Μυστήρια, καὶ μεταλάβῃ τὸ ὕστατον τοῦ ἁγίου σώματος καὶ αἵ-
ματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ δὲ ἱερεύς, φόβῳ καὶ
ἀμηχανίᾳ συσχεθείς, πῶς ἄρα μετακομίσαι ἐν τῷ οἴκῳ τοῦ ἱπ-
πάρχου (τοῦ φοβεροῦ τότε πᾶσιν ὄντος) τὰ θεῖα Μυστήρια, ἐσο-
φίσθη παρὰ τῆς θείας χάριτος τοιοῦτόν τι, καὶ ἀπεφάσισεν, ὅπως
θέσῃ ταῦτα τολμηρῶς ἐντὸς ἑνὸς μήλου, καὶ οὕτω πορευθεὶς με-
ταλάβῃ τὸν ἅγιον, προσφέρων αὐτῷ τὸ μῆλον. Τοιαύτῃ ἰδίᾳ σκέ-
ψει καὶ οἰκονομίᾳ ἐχρήσατο ὁ καλὸς ἐκεῖνος ἱερεὺς ὅπως ἀποφύγῃ
τὸν ὑφορώμενον κίνδυνον. Ὁ οὖν μακάριος Ἰωάννης, μεταλαβὼν
οὕτω τῶν ἀχράντων τοῦ Χριστοῦ Μυστηρίων, καὶ δοξάζων ἐγ-
καρδίως τὸν σωτῆρα Θεόν, παρέδωκεν αὐτῷ μετ' ὀλίγον τὸ πνεῦμα.
Καὶ οὕτω μετέστη, ἐκ τῆς προσκαίρου αἰχμαλωσίας καὶ δεινῆς
κακοπαθείας, εἰς τὴν οὐράνιον ἐλευθερίαν καὶ αἰωνίαν ἀγαλλία-
σιν, τῇ 27ῃ μαΐου τοῦ 1730 σωτηρίου ἔτους.— Ἀκούσας δὲ
ὁ κύριος αὐτοῦ ὅτι τέθνηκεν ὁ δοῦλος Ἰωάννης, προσκαλεσά-
μενος τοὺς προκρίτους χριστιανοὺς τῆς κωμοπόλεως, ἡμῶν καὶ
τοὺς ἱερεῖς αὐτῶν, ἐπέτρεψεν αὐτοῖς ὅπως παραλαβόντες ἐλευ-
θέρως τὸ σῶμα τοῦ Ἰωάννου ἐνταφιάσωσιν αὐτὸ ὅπου ἂν βουλη-
θῶσι, κατὰ τὸ ἔθος ἡμῶν. Θέλων δὲ ἵνα φανερώσῃ πρὸς πάν-
τας οἵαν ἐπ' ἐσχάτων ὑπόληψιν ἔτρεφε πρὸς τὸν Ἰωάννην, καὶ
πόσον ἐτίμα αὐτὸν ὕστερον, φέρων τότε πολύτιμον τάπητα ἐπέ-
θηκεν αὐτὸν ἐπὶ τοῦ φερέτρου αὐτοῦ. Προσελθόντες δὲ οἱ ἱερεῖς
μετὰ πάντων τῶν χριστιανῶν τῆς κωμοπόλεως, καὶ μετὰ πολλῆς
εὐλαβείας καὶ κατανύξεως, μετὰ λαμπάδων καὶ θυμιαμάτων,
ἄραντες τὸ πολύαθλον ἐκεῖνο σῶμα τοῦ ἁγίου, ἐκήδευσαν αὐτὸ
εὐλαβῶς ἐν τῷ νεκροταφείῳ τῶν χριστιανῶν.

Μετὰ παρέλευσιν ὅμως τριῶν καὶ ἡμίσεος ἐτῶν, ἀπὸ τῆς

πρὸς Κύριον μεταστάσεως τοῦ ἁγίου, γέρων τις ἱερεὺς βλέπει κατ' ὄναρ τὸν ἅγιον, παροτρύνοντα αὐτὸν ἵνα ποιήσῃ ἀνακομιδὴν τοῦ ἱεροῦ αὐτοῦ λειψάνου. 'Αλλ' ὁ ἱερεὺς ἀμφεταλαντεύετο, εἴπερ εἴχετο ἀληθείας τὸ ὅραμα, ἢ οὔ. Διότι εἰσέτι αὐτὸν οὐκ ἠδύναντο καταριθμεῖν ἐν τοῖς ὁμολογητοῖς καὶ ἁγίοις οἱ χριστιανοὶ καθὰ μὴ γινώσκοντες ἔτι ἀκριβῶς τὰ περὶ αὐτοῦ. 'Αλλ' ὅτε μετὰ ταῦτα, φῶς οὐράνιον κατερχόμενον ἐπανειλημμένως, περὶ μέσας νύκτας, ἐπὶ τοῦ τάφου τοῦ ἁγίου, ἐφώτιζεν αὐτόν, καὶ ἐθεωρεῖτο τοῦτο παρὰ πάντων ὡς στῦλος πυρός, τοῦτο ἠνάγκασε τότε τὸν καλὸν ἱερέα, ὅπως συμπαραλαβὼν καὶ ἑτέρους τῶν χριστιανῶν κατέλθωσι μετὰ σπουδῆς καὶ ἀνοίξωσι τὸν τάφον αὐτοῦ. Ἔγνωσαν γὰρ ἀληθῶς, ὅτι τὸ φαινόμενον ἐν τῷ νεκροταφείῳ οὐράνιον ἐκεῖνο φῶς ἐπὶ τοῦ μνήματος τοῦ αἰχμαλώτου 'Ιωάννου οὐδὲν ἕτερον ἐστὶν ἢ σημεῖον ἀναμφίβολον τῆς αὐτοῦ ἁγιότητος. 'Ανοίξαντες οὖν τὸν τάφον, εὑρίσκουσιν, ὢ τοῦ θαύματος! τὸ τοῦ ἁγίου σῶμα ἀκέραιον ὅλως καὶ ἀδιάφθορον, πλῆρες πνευματικῆς χάριτος καὶ εὐωδίας. (1)

Ὅθεν, πνευματικῆς εὐφροσύνης καὶ χαρᾶς πλησθέντες οἱ χριστιανοί, ἄραντες αὐτὸ εὐλαβῶς, μετὰ ψαλμῶν καὶ ὕμνων καὶ θυμιαμάτων, μετήνεγκον εἰς τὸν πλησίον τοῦ οἴκου τοῦ κυρίου αὐτοῦ ἐκ βράχων λελατομημένον ἱερὸν ναὸν τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, (ἔνθα πρότερον καὶ τὰς παννυχίους στάσεις καὶ προσευχὰς ἐξετέλει ὁ ἅγιος) καὶ κατέθεντο ἐν τῇ ἐπὶ τούτῳ κατασκευασθείσῃ λάρνακι, κάτωθεν τῆς

(1) Σημεῖον τοῦτο ἀναμφισβήτητον τοῦ 'Ιωάννου ἁγιότητος. Διότι, κοινὴ γνώμη τῶν διδασκάλων τῆς 'Εκκλησίας ἡμῶν ἐστι τῶν μὲν μαρτύρων τὰ λείψανα ἵνα προσκυνῶνται ὡς ἅγια καὶ χωρὶς θαυμάτων καὶ εὐωδίας, διὰ τὸ γίνεσθαι φανερὰ πᾶσι διὰ τῆς ἐμπράκτου ἀποδείξεως τοῦ μαρτυρίου ἥ τε εἰς Θεὸν τελεία πίστις καὶ ἡ ἀγάπη αὐτῶν. Τῶν δὲ ὁσίων μὴ προσκυνῶνται ὡς ἅγια, ἐὰν ὁ Θεὸς μὴ ἀποδείξῃ δι' αὐτῶν θαύματά τινα, ἢ τὸ ὀλιγώτερον τιμήσῃ αὐτὰ διὰ τῆς εὐωδίας, ὡς μὴ οὔσης ἀποδεδειγμένης εἰς τοὺς ἀνθρώπους τῆς ἐν κρυπτῷ πίστεως καὶ ἀγάπης αὐτῶν πρὸς τὸν Θεόν.



ἁγίας Τραπέζης. Εὐθέως δέ, διαδοθείσης τῆς φήμης τῆς ἁγιότητος αὐτοῦ ἐν τοῖς πέριξ, ἤρξαντο πανταχόθεν εἰς τὴν κωμόπολιν Προκοπίου συρρέοντες οἱ χριστιανοὶ ἵν' ἀσπασθῶσι τὸ ἱερὸν λείψανον αὐτοῦ, πρὸς ἴασιν ψυχικῶν τε καὶ σωματικῶν αὐτῶν ἀρρωστημάτων.

Ἔκτοτε δὲ οὐκ ἐπαύσατο ὁ ὅσιος πατὴρ ἡμῶν 'Ιωάννης εὐεργετῶν χριστομιμήτως καὶ προχέων δαψιλῶς ἰάματα ἑνὶ ἑκάστῳ τῶν μετὰ θερμῆς πίστεως καὶ εὐλαβείας προσερχομένων αὐτῷ. Δεῦτε τοίνυν ἀκούσωμέν τινα ἐκ τῶν νεωτέρων θαυμάτων αὐτοῦ, ὅσα ἡ παράδοσις διέσωσεν ἡμῖν, καὶ ὅσα ἰδίοις ὀφθαλμοῖς ἡμῶν εἴδομεν, πρὸς δόξαν μὲν τοῦ τῶν ὅλων Θεοῦ, τοῦ ἐν τοῖς ἁγίοις αὐτοῦ δοξαζομένου, ἔπαινον δὲ καὶ τιμὴν τοῦ ἁγίου 'Ιωάννου, πρὸς δὲ καὶ στερέωσιν καὶ οἰκοδομὴν τῶν πιστῶν ἐν τῇ πρὸς Θεὸν προγονικῇ αὐτῶν πίστει καὶ εὐσεβείᾳ.

Κατὰ τὸ σωτήριον ἔτος 1832, ἐπὶ τῆς βασιλείας τοῦ κραταιοτάτου σουλτάνου Μαχμοὺδ τοῦ Β', νεωτερίσαντος, ὡς γνωστόν, τοῦ ἀντιβασιλέως τῆς Αἰγύπτου 'Ιμπραὴμ πασσᾶ κατὰ τοῦ κυριάρχου αὐτοῦ, σὺν τοῖς ἄλλοις ἐξεπέμφθη καὶ ὁ Χαζνετὲρ ὀγλοῦς 'Οσμὰν πασσᾶς ἄγων μεθ' ἑαυτοῦ δέκα ὀκτὼ χιλιάδας στρατιωτῶν· Οὗτος, διαβὰς μετὰ τῶν στρατιωτῶν τὴν Καισάρειαν τῆς Καππαδοκίας, ἔφθασεν εἰς Προκόπιον, ἔνθα ἐμελέτα ὅπως διανυκτερεύσῃ ἐν ἑσπέρας, τὴν δὲ ἐπιοῦσαν ἀναχωρήσῃ διὰ τῆς Νεαπόλεως εἰς τὰς Κιλικίας Πύλας, ὅπου ἐστρατοπέδευεν ὁ ἀντιβασιλεύς. 'Επειδὴ δὲ τότε, πλεῖστοι τῶν ὀθωμανῶν κατοίκων τοῦ Προκοπίου συμφρονοῦντες ἦσαν τῷ 'Ιβραήμ, συνεφώνησαν ἅπαντες ὅπως μὴ ὑποδεχθῶσι τὸν 'Οσμὰν πασσᾶν ἐν τῇ κωμοπόλει ταύτῃ, οὐδὲ ἐν τοῖς ὁρίοις αὐτῆς. Εἰς μάτην τότε προσεπάθουν οἱ δυστυχεῖς χριστιανοὶ συμπολῖται αὐτῶν ἵνα μεταπείσωσιν αὐτοὺς ὅπως ὑποταχθῶσιν εὐπειθῶς καὶ φιλοξενήσωσι φιλοφρόνως τὸν παρὰ τῆς ἀνωτέρας 'Αρχῆς στελλόμενον τοῦτον στρατηγόν, ὑποδεικνύντες μάλιστα αὐτοῖς ὅτι ὁ εἰρημένος στρατηγὸς ἐν τῇ ἐκρήξει τῆς δικαίας αὐτοῦ ἀγανακτήσεως, διὰ τὴν τοιαύτην πρὸς αὐτὸν ἀντί-

στασιν, ἤθελε καταστρέψει αὐτοὺς καὶ λεηλατήσει τὴν κωμόπολιν. Ἀλλ' οὐδόλως ἐκεῖνοι ἐπείθοντο εἰς ταῦτα. Ἰδόντες ὅθεν οἱ χριστιανοὶ τὸ ἀμετάθετον τῆς γνώμης τῶν ἐναντία καὶ ἀσύνετα φρονούντων, καὶ ἀναλογιζόμενοι τὰ ἄφευκτα δεινὰ καὶ ἐπακόλουθα τῆς τοιαύτης ἀντιστάσεως, κατέφυγον διὰ νυκτὸς σὺν γυναιξὶ καὶ τέκνοις αὐτῶν εἰς τὰ πέριξ τῆς κωμοπόλεως χριστιανικὰ χωρία, πρὸς διάσωσιν τῆς ζωῆς αὐτῶν, ἀφίσαντες ἐν αὐτῇ τοὺς γέροντας μόνον καὶ τὰς γραῦς. Τῷ ὄντι δέ, τὴν ἐπιοῦσαν ἡμέραν, ἠναγκάσθη ὁ Ὀσμὰν πασσᾶς ἵνα εἰσέλθῃ ἐξ ἐφόδου εἰς Προκόπιον, καὶ τότε ὁ ὑπ' αὐτὸν στρατὸς ἐπεδόθη ἀμέσως εἰς σφαγάς, διαρπαγάς, καὶ βιαιοπραγίας. Διαρπάσαντες δ' οἱ ἄτακτοι πᾶν τὸ προστυχὸν εἰσῆλθον τέλος καὶ εἰς τὸν ἱερὸν ναὸν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἔνθα συλήσαντες πρότερον τὰ ἱερὰ σκεύη, τὰς κανδήλας καὶ λοιπά, ἤνοιξαν εἶτα καὶ τὴν λάρνακα τοῦ λειψάνου τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, νομίσαντες ὅτι εὑρήσουσι πάντως χρυσίου ἢ ἀργυρίου θησαυρούς. Ἀποτυχόντες ὅμως τῶν ἐλπίδων, ἀπεφάσισαν ὅπως καύσωσι τὸ ἱερὸν ἐκεῖνο σῶμα, πρὸς ἐμπαιγμὸν καὶ χλεύην μὲν τῶν χριστιανῶν, πρὸς ἐκδίκησιν δὲ τῆς ἰδίας αὐτῶν ἀποτυχίας. Διό, καὶ ἐξαγαγόντες τοῦτο ἐν τῇ ἔξωθεν αὐλῇ τοῦ ἱεροῦ ναοῦ, καὶ περισυλλέξαντες φρύγανα ἱκανά, καὶ σχηματίσαντες δι' αὐτῶν μεγάλην πυράν, ἔρριψαν τολμηρῶς τὸ τίμιον σῶμα τοῦ ἁγίου ἐπὶ τῆς πυρᾶς. Τὸ ἱερὸν ὅμως τοῦτο σῶμα, θείοις κρίμασιν ἀνεξιχνιάστοις, οὐ μόνον ἀβλαβὲς ὅλως καὶ ἄφλεκτον ἔμεινεν, ἀλλ' ὡς αὐτοὶ οὗτοι οἱ αὐτουργοὶ τοῦ ἀνοσιουργήματος διηγοῦντο ὕστερον τοῖς ὁμοφύλοις αὐτῶν, αἴφνης φανεὶς αὐτοῖς ζῶν ὁ ἅγιος ἠπείλησεν αὐτοὺς σφοδρῶς, καὶ κατεδίωξεν αὐτοὺς ἐκ τῆς αὐλῆς τοῦ ναοῦ. Οὗτοι δὲ ἔντρομοι ἐκ τούτου καὶ ἡμιθνητοι σχεδὸν ἐγκαταλιπόντες τὰ πάντα ἔφυγον εἰς τὰ ἴδια. Ὕστερον δέ, γέροντες χριστιανοί, λαβόντες αὖθις τὸ ἱερὸν λείψανον τοῦ ἁγίου, τεθείκασιν αὐτὸ ἐν τῇ ἰδίᾳ αὐτοῦ λάρνακι.

Κατὰ δὲ τὸ 1833, ὅτε ἐκτίσθη ἐν Προκοπίῳ ἕτερος μέγας ἱερὸς ναός, ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου



τοῦ Μεγάλου, ἠθέλησαν οἱ τότε χριστιανοὶ τῆς κωμοπόλεως ὅπως μετακομίσωσι τὸ ἱερὸν λείψανον τοῦ ἁγίου, ἀπὸ τοῦ παλαιοῦ ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, εἰς τὸν εἰρημένον νέον, πρὸς εὐχερεστέραν αὐτῶν μετάβασιν καὶ προσκύνησιν τοῦ ἱεροῦ λειψάνου, ἅμα δὲ καὶ πρὸς ἀσφαλεστέραν αὐτοῦ παραμονὴν καὶ προφύλαξιν. Ὅθεν, καὶ ἀποφασισθέντος τούτου, ἦραν οἱ χριστιανοὶ τὴν ἱερὰν λάρνακα, καὶ φέροντες ἐναπέθεντο αὐτὴν εἰς τὸν νέον ναὸν τοῦ ἁγίου Βασιλείου. Ἀλλά, τοῦ ἁγίου Ἰωάννου μὴ εἰς τοῦτο, ὡς φαίνεται, ἀρεσκομένου, μετεκομίζετο παραδόξως διὰ νυκτὸς ἡ λάρναξ αὐτοῦ, κεκλεισμένων τῶν θυρῶν τοῦ ναοῦ, εἰς τὸν παλαιὸν ναὸν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἔνθα καὶ ζῶν ἠγωνίζετο, ὡς εἴπομεν, ἐν προσευχαῖς καὶ νυκτεριναῖς στάσεσιν. Οἱ δὲ χριστιανοὶ ἰδόντες τοῦτο, καὶ μὴ ὡς θαῦμα ἐκλαμβάνοντες, μετεκόμισαν αὖθις τὴν ἱερὰν λάρνακα εἰς τὸν νέον ναὸν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου. Καὶ τούτου δὶς καὶ τρὶς γενομένου, εὑρίσκετο πάλιν τῇ ἐπαύριον ἡ λάρναξ εἰς τὸν παλαιὸν ἱερὸν ναόν. Ἕως οὗ γνόντες τὴν τοῦ ἁγίου θαυματουργίαν, καὶ διὰ πολλῶν δεήσεων καὶ παρακλήσεων δυσωπήσαντες αὐτόν, εὗρον, τέλος, συγκατατιθέμενον, καὶ μετήνεγκον αὖθις τὴν ἱερὰν λάρνακα αὐτοῦ, εἰς τὸν εἰρημένον νέον ναὸν τοῦ ἁγίου Βασιλείου, ἐν ᾧ καὶ διαμένει τὸ ἱερὸν τοῦ νέου τούτου Ὁμολογητοῦ λείψανον μέχρι σήμερον, τιμώμενον καὶ προσκυνούμενον παρὰ πάντων.

Οἵαν δὲ διὰ παντὸς σκέπην καὶ πρόνοιαν ἐπεδείξατο ὁ ἅγιος πρὸς τοὺς κατοίκους τῆς κωμοπόλεως, κοινῶς τε καὶ ἰδιαιτέρως, δύναταί τις καὶ ἐκ πολλῶν μὲν ἄλλων ἵνα βεβαιωθῇ, μάλιστα δὲ ἐκ τῶν κάτωθι ἱστορουμένων. Κατὰ τὸ 1862 ἔτος, ἡμέρᾳ σαββάτῳ, πρωΐας οὔσης καὶ τῆς ἀναιμάκτου θυσίας ἐκτελουμένης ἐν τῷ ἄνω εἰρημένῳ ναῷ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, εὐλαβής τις γυνὴ διηγεῖτο ταῖς παρεστώσαις ἐν τῷ ναῷ γυναιξίν, ὅτι τῇ χθὲς κατ' ὄναρ εἶδε τὸν ἅγιον Ἰωάννην ἐξελθόντα ἐκ τῆς λάρνακος αὐτοῦ ἄγαν δρομαῖον, καὶ κρατοῦντα ἀμφοτέραις ταῖς

χερσὶν τὴν στέγην τῆς ἑλληνικῆς σχολῆς, ἥτις ἔμελλε ἵνα καταρρεύσῃ. (1) Ἐνῷ δὲ ταῦτα ἔλεγεν αὕτη, αἴφνης κρότος καὶ θόρυβος ἠκούσθη πολύς, καὶ οἱ ἐκκλησιαζόμενοι πάντες παραυτίκα ἐξῆλθον τοῦ ναοῦ, καὶ εἶδον πράγματι ὅτι ὁλόκληρος ἡ στέγη τῆς σχολῆς κατέπεσε καὶ ἐπλάκωσε τοὺς συνελθόντας μαθητάς. Δραμόντες δὲ πάντες μετὰ θρήνων καὶ κλαυθμῶν, καὶ ἀνεγείραντες εὐθέως τὴν καταπεσοῦσαν βαρεῖαν στέγην, ἐκβάλλουσι τοὺς ὑπ᾽ αὐτὴν ταφέντας καὶ καταπλακωθέντας ὑπὲρ τοὺς εἴκοσι μαθητάς, ζῶντας, ὢ τοῦ θαύματος! καὶ ὅλως ὑγιεῖς. Ἐρωτησάντων δὲ τῶν κατοίκων τοὺς μαθητάς, πῶς τοῦτο αὐτοῖς ἐγένετο καὶ πῶς ἐσώθησαν ἐκ τοιούτου κινδύνου; Ἀπεκρίθησαν οὗτοι, ὅτι, «αἴφνης ἀκούσαντες τὸν σφοδρὸν καὶ βίαιον τριγμὸν τῶν δοκῶν τῆς στέγης καὶ ἰδόντες τὸν ἐπικείμενον κίνδυνον πάντες, ὡς ἐκ συνθήματος καὶ ὡς ὑπ᾽ ἀοράτου χειρὸς ὁδηγούμενοι, κατήλθομεν ἐν στιγμῇ ὑπὸ τὰ θρανία, ἐν φόβῳ καὶ τρόμῳ καὶ ἐσχάτῃ ἀπελπισίᾳ. Αὐθωρεὶ δ᾽ εἶτα, πεσούσης ἐν βοῇ τῆς στέγης ἐφ᾽ ἡμῶν, αἱ μὲν δοκοὶ τῆς στέγης ἐστηρίχθησαν, μετὰ τοσαύτης ὕλης, ἐπὶ τῶν ἀδυνάτων θρανίων, ἡμεῖς δὲ μείναντες ὑπὸ ταῦτα ἀβλαβεῖς ὅλως καὶ ἀπαθεῖς, παρὰ προσδοκίαν, διεφυλάχθημεν.» (2) Καὶ οὕτω χάριτι Θεοῦ, καὶ ἀοράτῳ ἐπιστασίᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, ἐσώθησαν τότε τόσα ἀθῶα πλάσματα, ἅτινα μετὰ ταῦτα ἀνδρωθέντα ὠφέλησαν πολυειδῶς καὶ ὠφελοῦσιν ἔτι τήν τε εἰρημένην σχολὴν καὶ σύμπασαν τὴν ἡμετέραν πατρίδα.

Κατὰ δὲ τὸ ἔτος 1874, ἐκ τῆς γενεᾶς τοῦ ἄνω εἰρημένου ἱππάρχου, (3) δωδεκαετὲς κοράσιον ἐγένετο αἴφνης ἄφαντον ἐκ τῆς

(1) Ἡ Σχολὴ αὕτη ἔκειτο παραπλεύρως τοῦ ἱεροῦ ναοῦ τοῦ ἁγίου Βασιλείου, καὶ εἶχον συνέλθει, πρὸ τῆς καταρρεύσεως, ἱκανοὶ μαθηταί.

(2) Αὐτόπτης μάρτυς, καὶ αὐτοπαθὴς μάλιστα, τῶν τότε ἐν τῇ σχολῇ ἐκείνῃ δραματουργηθέντων, ἐγένετο καὶ ὁ πανοσιολογιώτατος ἱερομόναχος κ. Διονύσιος, ὡς μαθητεύων τότε ἐν αὐτῇ.

(3) Ἡ γενεὰ ἐκείνη διατηρεῖται εἰσέτι ἀκμαία, ἀπὸ τὸν καιρὸν τοῦ ἁγίου Ἰωάννου, καὶ πλουσιωτέρα μάλιστα τῶν λοιπῶν ὁμοεθνῶν αὐτῆς.



συνοικίας αὐτοῦ. Οἱ οὖν γονεῖς αὐτοῦ περιπαθῶς ζητοῦντες τὸ ἑαυτῶν θυγάτριον, καὶ ἀνερευνῶντες τῇδε κἀκεῖσε, οὐδαμοῦ εὗρον. Τέλος κατέφυγον πρὸς τὸν ἅγιον, καὶ προσφέροντες ἔλαιον καὶ κηρὸν εἰς τὸ ἱερὸν αὐτοῦ λείψανον, ἐδέοντο διὰ τῶν ἱερέων, ὅπως ἀποκαλύψῃ αὐτοῖς τί τὸ θυγάτριον αὐτῶν ἐγένετο. Ὁ δὲ ἅγιος, ὡς εὔσπλαγχνος καὶ συμπαθής, φαίνεται κατ᾽ ὄναρ τῇ μητρὶ τοῦ κορασίου, καὶ ἀποκαλύπτει αὐτῇ, ὅτι «Ἡ δεῖνα πτωχὴ γυνὴ ἐκ τῶν ὁμοεθνῶν σου, (εἰπὼν καὶ τὸ ὄνομα αὐτῆς) φιλαργυρίαν νοσήσασα προσεκαλέσατο παρ᾽ ἑαυτῇ χθὲς τὸ ἑσπέρας ἐκ τῆς συνοικίας τὸ κοράσιον, καὶ σύρουσα τοῦτο διὰ θωπειῶν εἰς τὴν παρακειμένην οἰκίαν αὐτῆς, ἀφεῖλε πρῶτον τὰ χρυσᾶ ἐνώτια καὶ τὰ λοιπὰ πολύτιμα κοσμήματα αὐτοῦ, εἶτα ἐπιβαλοῦσα καὶ χεῖρα μιαιφόνον ἔπνιξεν αὐτὸ καὶ ἔκρυψε τὸ πτῶμα αὐτοῦ εἰς τὴν καπνοδόχον τῆς οἰκίας αὐτῆς». Τοσοῦτον δὲ προδήλως ὡμίλησεν ὁ ἅγιος τῇ γυναικί, ὥστε ἐγερθεῖσα ἐκείνη τῆς κλίνης, καὶ δραμοῦσα ἀμέσως μετὰ τοῦ ἀνδρὸς καὶ τῶν λοιπῶν τῶν ἐν τῇ οἰκίᾳ εἰς τὴν παρὰ τοῦ ἁγίου ὑποδειχθεῖσαν οἰκίαν τῆς δολοφόνου γυναικός, εὗρον τὸ πτῶμα τῆς θυγατρὸς αὐτῶν ἐν τῷ ὑποδειχθέντι τόπῳ. Ἀναγγείλαντες εἶτα τοῦτο τῇ πολιτικῇ ἀρχῇ οἱ γονεῖς αὐτῆς, συλληφθείσης καὶ τῆς φονευτρίας, καὶ αὐστηρῶν ἀνακρίσεων γενομένων, ἐξηκριβώθη ἡ ὑπόθεσις τοῦ φόνου, καθὼς ὁ ἅγιος ἀπεκάλυψε τῇ μητρὶ τοῦ ἐν λόγῳ κορασίου· καὶ οὕτως ἐτιμωρήθη ἡ κακοῦργος αὐστηρῶς.

Κατὰ δὲ τὸ 1879, εἷς τῶν ἀδελφῶν τῆς ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος ἱερᾶς ρωσσικῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος, ὀνόματι Ἀνδρέας, ἐκ Νεαπόλεως τῆς Καππαδοκίας ὁρμώμενος, μετέβη εἰς Προκόπιον, χάριν προσκυνήσεως τῶν ἱερῶν λειψάνων τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου. Διαμείνας δὲ ἐκεῖσε ἐπί τινα καιρὸν καὶ προσκυνήσας, ἐπέστρεφεν αὖθις πρὸς τὴν ἑαυτοῦ ἱερὰν μονήν, μετὰ καὶ ἄλλων συνοδοιπόρων, πάντων ἐφ᾽ ἑπτὰ ἁμαξῶν. Φθασάντων δὲ εἴς τι δύσβατον ὀρεινὸν κυκλοειδὲς μέρος, συνέπεσεν, ὡς ἐκ τῆς τραχύτητος τῆς

ὁδοῦ, ἵνα μείνωσιν ἥ τε ἅμαξα τοῦ εἰρημένου μοναχοῦ καθὼς καὶ μία τῶν ἑπτὰ ὀπίσω τῶν ἄλλων, παρ' ὧν οὐδόλως ἐθεῶντο. Ὅθεν καὶ βιάσαντες ταύτας, ὅπως προφθάσωσι τὰς πρὸ αὐτῶν, ἰδοὺ βλέπουσιν ἐπὶ τοῦ ἀντικρὺ βουνοῦ νεανίαν, ἱππεύοντα ἐπ' ἐρυθροῦ ἵππου, νεύοντα αὐτοῖς διὰ τῆς χειρὸς καὶ κράζοντα μεγαλοφώνως· «ἐπιστρέψατε ὀπίσω! ἐπιστρέψατε ὀπίσω! διότι ὀλίγον ἔμπροσθεν οἱ λησταὶ λῃστεύουσι τοὺς προπορευομένους συνοδοιπόρους ὑμῶν.» Καὶ ἐν τῷ εἰπεῖν ταῦτα, ἄφαντος ἐγένετο. Ἀκούσαντες δ' ἐκεῖνοι ταῦτα, παρὰ προσδοκίαν, ἐκ τοῦ στόματος τοῦ χαριτωμένου ἐκείνου νεανίου, ἔμελλον ἐπιστρέψαι εἰς τὰ ὄπισθεν. Ἀλλ' ἡ ἅμαξα τοῦ εἰρημένου ἀδελφοῦ, οὖσα πλέον περὶ τὸ τέλος τῆς καμπυλοειδοῦς ἐκείνης ὁδοῦ, μετὰ μεγίστης δυσχερείας ἠδυνήθη μόλις ἐπιστρέψαι καὶ σωθῆναι. Ἐν δὲ τῷ ἐπιστρέφειν, εἶδε μακρὰν ἀπό τινος σημείου τοὺς λῃστὰς διαμερίζοντας τὰ λάφυρα τῶν πρὸ αὐτῶν πορευθεισῶν ἁμαξῶν, εἰς ἃς ἐπέβαινον ὀθωμανοὶ ἔμποροι τῆς Ἀνατολῆς. Καίτοι προέλαβεν ὅμως, ὡς εἴπομεν, ἵνα στραφῇ εἰς τὰ ὀπίσω, κατὰ τὸν λόγον τοῦ ἐμφανισθέντος νεανίου καὶ οὕτω σωθῇ ἐκ τῆς λῃστείας, οὐχ ἧττον ὅμως οἱ λησταί, ἰδόντες τὴν φυγὴν αὐτῶν, ἔρριψαν κατ' αὐτῶν τινας σφαίρας, αἵτινες εὐτυχῶς διῆλθον ἄνω τῶν κεφαλῶν αὐτῶν μετὰ σφοδροῦ συρίγματος, ἄνευ οὐδεμιᾶς βλάβης. Ἐλθὼν δὲ ὁ μοναχὸς ἐν τῇ ἐκεῖ πλησίον τουρκικῇ κώμῃ καὶ παραλαβὼν φύλακας στρατιώτας παρὰ τῆς ἐκεῖσε πολιτικῆς ἀρχῆς, ἐπορεύετο αὖθις τὴν εἰς Κωνσταντινούπολιν ἄγουσαν. Τῇ ἐπαύριον, προφθάσας ἐν τῷ καταλύματι τοὺς ὀθωμανοὺς συνοδοιπόρους αὐτοῦ, τοὺς ὑπὸ λῃστῶν μέχρις ἱματίων λῃστευθέντας, συνελυπήθη αὐτοῖς, οἵτινες ἐξέφραζον αὐτῷ τὸν θαυμασμόν, πῶς σὺ ὁ ὁδεύων ὀλίγον τι ὄπισθεν ἡμῶν, οὐκ ἐθεάθης παρὰ τῶν λῃστῶν καὶ οὐκ ἐλῃστεύθης; Ἀκούσαντες παρ' αὐτοῦ δὲ τὴν λεπτομερῆ διήγησιν τῶν ἐν τῇ ὁδῷ παρακολουθησάντων, ἤτοι, τὴν αἰφνιδίαν ἐμφάνισιν νεανίου τινος, καὶ τὴν δι' αὐτοῦ ὁδηγίαν πρὸς τὰ ὄπισθεν τῆς ὁδοῦ, τότε πάντες οὗτοι ἀπέδωκαν τὴν σωτηρίαν τοῦ ἐν λόγῳ μο-



ναχοῦ εἰς τὸν ἐμφανισθέντα ἐκεῖνον νεανίαν, ὃν ἐξαπέστειλε, θείᾳ νεύσει, (ὡς μετὰ μετὰ ταῦτα διεβεβαίου ὁ εἰρημένος μοναχὸς) ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης, εἰς οὗ τῶν ἱερῶν λειψάνων τὴν προσκύνησιν μετὰ τόσης εὐλαβείας καὶ μετὰ τοσούτων ἐν ὁδοιπορίαις κόπων καὶ ταλαιπωριῶν εἶχεν ἀπέλθει.

Ἐν τῇ εἰς Προκόπιον μετὰ ταῦτα, κατὰ τὸ 1879, ἀποστολῇ τοῦ εἰρημένου ἀδελφοῦ παρὰ τῆς ἱερᾶς μονῆς ταύτης, συνέβη τὸ ἑξῆς ἀξιοθαύμαστον. Ἐν μιᾷ τῶν ἡμερῶν, εὑρισκόμενος ὁ ἀδελφὸς οὗτος εἰς τὸν ἱερὸν ναὸν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου, ἵνα προσκυνήσῃ τὸ ἱερὸν λείψανον τοῦ ἁγίου Ἰωάννου, περιήρχετο μετὰ τοῦ ἐπιτρόπου τῆς Ἐκκλησίας, ἐπιθεωρῶν τὸ ἐσωτερικὸν μέρος τοῦ ἱεροῦ ναοῦ, ἔνθα ἵσταντο εἰς διάφορα μέρη μεγάλαι εἰκόνες ἁγίων, μετὰ τέμπλων, ἀνήκουσαι εἰς διαφόρους ἀδελφότητας, ὅτε ἦλθον ἐνώπιον τῆς εἰκόνος τοῦ ἁγίου Ἰωάννου, ἥτις ἀνήκει εἰς τὴν ἀδελφότητα τῶν ἐν Κωνσταντινουπόλει λεμβούχων Προκοπέων, εἶδον παιδίον χριστιανοῦ τινος ἑξαετὲς σχεδόν, ἱστάμενον ἀπέναντι τῆς εἰκόνος τοῦ ἁγίου καὶ περιεργαζόμενον τὰ μαρτύρια καὶ τοὺς ἀσκητικοὺς ἀγῶνας αὐτοῦ. Ἀφοῦ δὲ καὶ οὗτοι εἶδον τὴν εἰκόνα τοῦ ἁγίου καὶ προσκυνήσαντες παρῆλθον, καὶ περιῆλθον τὸ ὑπόλοιπον μέρος τοῦ ναοῦ, στραφέντες εἶδον ὅτι τὸ ῥηθὲν παιδίον ἐξηκολούθει ἱστάμενον ἀπέναντι τῆς εἰκόνος τοῦ ἁγίου καὶ μετ' ἀχορτάστου περιεργείας θεώμενον αὐτήν. Τὴν ἄπληστον ταύτην καὶ οἱονεὶ ἐκστατικὴν θεωρίαν τοῦ παιδὸς θεωροῦντες, ὅ,τε εἰρημένος μοναχὸς καὶ ὁ ἐπίτροπος, προσεκαλέσαντο αὐτὸ πλησίον καὶ λέγουσιν αὐτῷ τουρκιστί· «Διατί βλέπεις τόσην ὥραν εἰς τὴν εἰκόνα τοῦ ἁγίου; Γνωρίζεις, τίς ἐστιν ὁ ἐζωγραφημένος;» Τὸ παιδίον ἀπεκρίθη μετὰ παιδικῆς ὄντως ἀφελείας ὅτι ἀγνοεῖ ὅλως. Τότε αὐτοὶ εἶπον πάλιν τῷ παιδίῳ ἀστειευόμενοι· «Ὕπαγε καὶ ἐρώτησον αὐτόν.» Τὸ παιδίον ἀπαντᾷ αὐτοῖς, τί δέον ἵνα εἴπω; Εἰπέ, λέγουσιν ἐκεῖνοι, πῶς ὀνομάζεσαι; Τὸ ἀθῶον παιδίον, ὑπῆγε πάλιν πρὸς τὴν εἰκόνα τοῦ ἁγίου καὶ ἐρωτῆσαν ἔμαθε παρ' αὐτῆς παραδόξως τὸ ὄνομα τοῦ

ἁγίου. Ἐπιστρέψαν δὲ ἀπήγγειλε αὐτοῖς περιχαρῶς, ὅτι ὀνομάζεται, Ἰωάν! Ἰωάν! εἰπὸν δὶς οὕτω τὸ ὄνομα. Ἐκεῖνοι δὲ ἐπαναλαμβάνοντες πάλιν, λέγουσιν αὐτῷ. Εἰς τίνα διάλεκτον ἠρώτησας αὐτόν; Τὸ παιδίον ἀπεκρίνατο αὐτοῖς ὅτι εἶπεν αὐτῷ οὕτω· «Σενὶν ἀτὶν νέτιρ;» (ἤτοι, τὸ ὄνομά σου πῶς λέγεται;) Καὶ ἐκεῖνος μοὶ ἀπεκρίθη, «Ἰωάν.» Ἐφάνη δὲ περίεργον ὅτι ὁ ἅγιος ἐγνωστοποίησεν εἰς τὸ παιδίον τὸ ὄνομα αὐτοῦ ρωσσικῇ προφορᾷ, λέγων «Ἰωάν.» Διότι, οἱ μὲν Ὀθωμανοὶ προφέρουσι τὸ ὄνομα τοῦτο Γιουβάν, οἱ δὲ Ἕλληνες λέγουσι Γιάννης, ἢ Ἰωάννης.

Καίτοι δὲ οἱ φιλόθεοι χριστιανοὶ τῆς τε εὐσεβοῦς κωμοπόλεως τοῦ Προκοπίου καὶ τῶν πέριξ, ἐν τῷ προσκυνεῖν τὸ ἱερὸν λείψανον τοῦ ἁγίου, ἀφῄρουν κατὰ καιρὸν κρύφα μικρόν τι τμῆμα αὐτοῦ, χάριν εὐλαβείας, ἠναγκάζοντο ὅμως μετ' ὀλίγον, ἀμέσως, ἵνα ἐπιστρέψωσιν αὐτό, ἀπειλούμενοι παρὰ τοῦ ἁγίου σφοδρῶς δι' ὁραμάτων, καὶ νυκτερινῶν ἐμφανίσεων, ὅμως ἐν τῇ ἀποκοπῇ τῆς δεξιᾶς αὐτοῦ χειρὸς καὶ ἀποστολῇ αὐτῆς εἰς τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθω, πρὸς τὴν ἱερὰν μονὴν τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος, τὴν λεγομένην τοῦ Ρωσσικοῦ, συγκατετέθη εὐχαρίστως ὁ ἅγιος καὶ οὐδεμίαν ἀπειλὴν ἢ νυκτερινὴν ἐμφάνισιν ἐπεδείξατο τοῖς τε ἀποκόψασι παρρησίᾳ αὐτὴν καὶ τοῖς κοινῇ γνώμῃ τῶν κατοίκων μετακομίσασιν ἐκεῖσε(1). Φαίνεται δ' ὅτι διὰ τοῦτο προθύμως ἔνευσεν ὁ ἅγιος, ἵν' ἀποκοπῇ καὶ ἀποσταλῇ ἡ δεξιὰ αὐτοῦ χεὶρ εἰς τὴν ἐν λόγῳ ἱερὰν ταύτην καὶ μεγίστην μονήν, ἵνα δι' αὐτῆς, ὡς διὰ πολυφώνου σάλ-



(1) Περὶ τῆς εἰρημένης ἀποστολῆς τῆς δεξιᾶς χειρὸς τοῦ ἁγίου Ἰωάννου, σημειοῦνται παρεκβατικῶς τὰ ἑξῆς. Πρὸ ὀλίγων ἐτῶν, ἤτοι κατὰ τὸ 1880, μαθόντες οἱ ἐν τῇ ἱερᾷ καὶ σεβασμίᾳ ταύτῃ μονῇ ἐνασκούμενοι ὁσιώτατοι Ρῶσσοι πατέρες παρὰ τῶν ἐν τῇ ἰδίᾳ μονῇ συνασκουμένων Καππαδοκῶν συναδέλφων αὐτῶν περὶ τοῦ ἱεροῦ καὶ ἀκεραίου ὅλως λειψάνου τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, περί τε τοῦ βίου καὶ τῶν ἑκάστοτε γινομένων θαυμάτων αὐτοῦ, εὐλαβείᾳ πρὸς τὸν συμπολίτην αὐτῶν ἅγιον φερόμενοι, ἀπέστειλαν ἐπὶ τούτῳ ἀδελφόν τινα τῆς μονῆς, ὅστις μετέβη ἀπ' εὐθείας εἰς Προκόπιον, καὶ ἐξῃτήσατο παρὰ τῶν κατοίκων αὐτοῦ μέρος τι τοῦ ἱεροῦ λειψάνου, ὅπως μετὰ καὶ ἄλλων κειμηλίων θησαυρισθῇ ἐν τῇ ἱερᾷ αὐτῶν μονῇ. Τότε τινὲς μὲν τῶν Προκοπέων ἐδέξαντο τὴν πρότασιν εὐχαρίστως, ἕτεροι δὲ βαρέως τοῦτο ἤκουσαν, καὶ οὐδεπωσῶς ν' ἀποκοπῇ ἡ δεξιὰ τοῦ ἁγίου συγκατετέθησαν. Οὕτω δὲ ἐπέστρεψεν ὁ ἀποσταλεὶς ἀδελφός, κεναῖς ταῖς χερσίν, εἰς τὰ ἴδια. Μετὰ παρέλευσιν ὅμως μικροῦ χρονικοῦ διαστήματος, αὐτοὶ οὗτοι, οἱ πρότερον σφοδρῶς ἀντιτείνοντες, μεταμεληθέντες ὡς ἐκ θαύματος, πρῶτοι αὐθορμήτως παρεκινήθησαν καὶ συγκατετέθησαν μετὰ καὶ τῶν ἄλλων κατοίκων πάντων ὁμοφώνως ὅπως ἀποκοπῇ ἡ δεξιὰ τοῦ ἁγίου, καὶ ἀποσταλῇ εἰς τὴν εἰρημένην ἱερὰν μονήν. Καὶ οὕτως, ἀποφασίσαντες κοινῶς, ἀπέκοψαν αὐτὴν καὶ ἀπέστειλαν διὰ τοῦ ἱερομονάχου Διονυσίου, καὶ ἑνὸς τῶν προκρίτων τῆς κωμοπόλεως, εἰς τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθω, κατὰ μάϊον τοῦ 1881. Φθάσαντες δ' ἀμφότεροι ἀκινδύνως ἐκεῖσε καὶ ἀποκομίσαντες τὴν δεξιὰν τοῦ ἁγίου εἰς τὴν εἰρημένην ἱερὰν μονὴν τοῦ Ρωσσικοῦ, ἔτυχον παρ' αὐτῆς μεγαλοπρεποῦς ὑποδοχῆς, φιλοξενίας καὶ περιποιήσεως. Μετὰ μηνιαίαν δὲ αὐτόθι διατριβήν, ἐν τῷ ἐπανέρχεσθαι εἰς τὴν πατρίδα, οἱ πατέρες τῆς ἐν λόγῳ ἱερᾶς μονῆς ἐδωρήσαντο τοῖς Προκοπεῦσιν ἱκανὰ ἱερὰ ἀναθήματα καὶ μερικὴν χρηματικὴν συνδρομήν, πρὸς ἀνέγερσιν μικροῦ παρεκκλησίου ἐπὶ τοῦ τάφου τοῦ ἁγίου. Ἀλλ' ἐπειδὴ ὁ ἕτερος τῶν ἐν Προκοπίῳ ἱερῶν ναῶν, ὁ ἐπ' ὀνόματι τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τιμώμενος καὶ ἐκ μονολίθου κρημνώδους βράχου λελαξευμένος ὤν, ἠπείλει ἡμέραν παρ' ἡμέραν ρεῦσιν καὶ παντελῆ κατάπτωσιν, σκέψεως γενομένης κοινῆς μεταξὺ τῶν κατοίκων, ἀπεφασίσθη ἵνα καὶ ἕκαστος τῶν χριστιανῶν συνδράμῃ τὸ κατὰ δύναμιν καὶ ἀνεγερθῇ ἐπὶ τοῦ τάφου τοῦ ἁγίου, ἀντὶ παρεκκλησίου, μέγας καθολικὸς ναός, ὅπως πάσας τὰς θρησκευτικὰς τῶν χριστιανῶν ἀνάγκας ἀνέτως θεραπεύῃ. Καὶ δή, διά τε τῶν παρὰ τῶν χριστιανῶν συλλεχθέντων χρημάτων καὶ διὰ τῶν ὡς διείληπται παρὰ τῆς ἱερᾶς μονῆς δοθέντων, οἱ κάτοικοι ἤρξαντο ἐπ' ἀγαθαῖς ταῖς ἐλπίσι τῆς οἰκοδομῆς τοῦ εἰρημένου ναοῦ, κατὰ τὴν 2 ἰουνίου τοῦ 1886. Ὑψωθείσης ὅμως τῆς οἰκοδομῆς τοῦ ναοῦ μέχρι τεσσάρων ἀρχιτεκτονικῶν πήχεων, καὶ τῶν εἰρημένων χρημάτων παντελῶς δαπανηθέντων, μετὰ θλίψεως πολλῆς ἐπαύσαντο πρὸς καιρὸν τοῦ ἔργου. Μετὰ παρέλευσιν δὲ πέντε ὁλοκλήρων ἐτῶν, οἱ χριστιανοὶ κάτοικοι τοῦ Προκοπίου, θεωροῦντες τὴν ἑκάστοτε ἐρήμωσιν τοῦ ἡμιτελοῦς αὐτῶν ἔργου καὶ λυπούμενοι ἐπὶ τούτῳ σφόδρα, νέας συνδρομὰς πάλιν ἔκ τε τοῦ πτωχοῦ αὐτῶν θυλακίου καὶ ἐκ τῶν πέριξ χωρίων συλλέξαντες, ἤρξαντο αὖθις τῆς οἰκοδομῆς. Φθάσαντες δὲ τότε μέχρις ὀροφῆς, καὶ τῶν χρημάτων τούτων δαπανηθέντων, ἐπαύσαντο πάλιν μετὰ βαθείας αὐτῶν λύπης τῆς οἰκοδομῆς τοῦ ἱεροῦ ναοῦ. Ἀλλά, τῇ θείᾳ βοηθείᾳ καὶ ταῖς πρὸς Θεὸν πρεσβείαις

πύργος, διαδοθῇ ἡ φήμη τῆς ἁγιότητος αὐτοῦ εἰς σύμπασαν τὴν ἀπέραντον αὐτοῦ πατρίδα, τὴν Ῥωσσίαν. (1)

τοῦ ὁσίου, συνετελέσθη πέρυσιν ὁ περικαλλὴς ναός, ἀδείᾳ δὲ τῆς ἁγίας καὶ Μεγάλης Ἐκκλησίας, ἐτελέσθησαν τῇ 16 αὐγούστου 1898 τὰ ἐγκαίνια αὐτοῦ * ὑπὸ τοῦ σεβασμιωτάτου μητροπολίτου Καισαρείας κ. Ἰωάννου.

(1) Σημειοῦμεν δ' ἐνταῦθα, χάριν ἱεροκατηγόρων τινῶν, παρεξηγούντων δυστυχῶς τὴν ἀλήθειαν καὶ λεγάντων πολλὰ κατὰ τοῦ ζήλου καὶ τῆς εἰς τὰ θεῖα ἀφοσιώσεως χριστιανῶν τινων, τὰ ἑξῆς. Ἐπειδή τινες τούτων λέγουσι, διατί οἱ Προκοπεῖς, ἔχοντες δύο ναούς, ἀνεγείρουσι ματαίως καὶ ἕτερον τρίτον καὶ δαπανῶσι τόσα χρήματα; ἀποκρινόμεθα πρὸς ταῦτα ὅτι ὁ ἕτερος τῶν ἐν Προκοπίῳ ναῶν, τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, πρὸ πολλοῦ, ὡς γνωστόν, ἠπείλει ῥεῦσιν καὶ κατάπτωσιν, καὶ εἰς διηνεκῆ φόβον καὶ τρόμον ἐνέβαλλε τοὺς ἐκκλησιαζομένους, ἀλλ' εὐχαῖς τοῦ ἁγίου ἐφυλάττετο ἄρρευστος καὶ πάντες ἐκκλησιάζοντο ἐπὶ τοσαῦτα ἔτη ἐν αὐτῷ μετὰ κινδύνου τῆς ζωῆς αὐτῶν. Ὅτε δὲ ἤρξατο οἰκοδομεῖσθαι ὁ νέος ναὸς τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, μόλις παρῆλθον ὀλίγοι μῆνες, καὶ ἐν μιᾷ τῶν νυκτῶν, ἀκριβῶς περὶ τὸ μεσονύκτιον, κατέρρευσεν ὅλος ὁ ἄνω εἰρημένος ναός, μετὰ μεγάλου κρότου καὶ πολλῆς βοῆς, ἐμβαλὼν εἰς πανικὸν φόβον πάντας τοὺς κατοίκους τῆς κωμοπόλεως. Εὐτυχῶς ὅμως τοῦτο ἐγένετο ἐν μέσῃ νυκτί, καθ' ἣν οὐδεὶς εὑρίσκετο ἐν τῷ ἱερῷ ναῷ καὶ ἐν τοῖς κάτωθεν αὐτοῦ ἐργαστηρίοις, καὶ οὐδεὶς τῶν χριστιανῶν ἔπαθε. Μετὰ τὴν κατάπτωσιν τοῦ ναοῦ τούτου, ἤρξαντο αἱ θρησκευτικαὶ ἀνάγκαι τῶν χριστιανῶν ἀποβαίνειν ἐπαισθητότεραι καὶ ἐπιβλητικώτεραι, ὡς μὴ ἀρκοῦντος αὐτοῖς ἑνὸς ἱεροῦ ναοῦ, τοῦ ἐπ' ὀνόματι Βασιλείου τοῦ Μεγάλου. Διό, καὶ ἤρξαντο αὖθις οἱ κάτοικοι τῆς οἰκοδομῆς τοῦ ναοῦ τοῦ ὁσίου. Ἀλλ' ὡς εἴπομεν, δαπανηθέντων τῶν ἐπὶ τούτῳ συλλεχθέντων χρημάτων καὶ τῶν Προκοπέων μὴ δυναμένων συνδραμεῖν αὖθις πρὸς τελείαν ἀποπεράτωσιν τούτου, ἑκόντες ἄκοντες ἐπαύσαντο τῆς ἐργασίας. Ἀλλ' ὡμολόγουν ὅμως δημοσίως, ὅτι βαρέως ἔφερον τοῦτο πάντοτε καὶ τῇ καρδίᾳ ἐτιτρώσκοντο, βλέποντες ἀφ' ἑνὸς μὲν τοὺς χριστιανοὺς στενοχωρουμένους καὶ πάσχοντας, ἀφ' ἑτέρου δὲ τὸν περικαλλῆ καὶ μεγαλοπρεπῆ ναόν, τὸν ἐπὶ τοῦ τάφου τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ἀνεγειρόμενον, τὸν μοναδικὸν ἄλλως τε κατά τε τὴν κομψότητα καὶ τὸ βυζαντινὸν αὐτοῦ σχέδιον καθ' ἅπασαν τὴν Μ. Ἀσίαν, οὕτως ἡμιτελῆ καὶ ἄστεγον κείμενον, καὶ πεποιθότες εἰς τὸν Θεὸν τῶν πατέρων ἡμῶν καὶ τὰς πρὸς αὐτὸν τοῦ ὁσίου πρεσβείας οὐκ ἐπαύσαντο οἱ Προκοπεῖς ἐργαζόμενοι, ἄχρις οὗ τέλος εἶδον τὸν εὐσεβῆ πόθον αὐτῶν ἐκπληρούμενον.

* Τὴν ἐν τῷ προλόγῳ χρονολογίαν 15 αὐγούστου διόρθου 16.



Ὁ δὲ νῦν ἀπόγονος τῆς ὀθωμανικῆς ἐκείνης οἰκογενείας, τοῦ κυρίου τοῦ ἁγίου, ὀνόματι Μουσταφᾶ ἀγᾶς, διηγεῖται πολλάκις μετ' εἰλικρινείας εἰς πολλοὺς τῶν χριστιανῶν κατοίκων τῆς κωμοπόλεως περὶ τῶν πολλῶν καὶ διαφόρων εὐεργεσιῶν, ὧν κατὰ καιρὸν ἠξιώθη ἡ οἰκογένεια αὐτῶν παρὰ Θεοῦ, εὐχαῖς τοῦ δικαίου Ἰωάννου. Εἰς ταύτας δ' ἀριθμῶν καὶ τὴν ἐπ' αὐτῷ ἐπιδαψιλευθεῖσαν ἐσχάτως μεγάλην εὐεργεσίαν, λέγει μετὰ γεροντικῆς σοβαρότητος, ὅτι «τὰ ἐμὰ τέκνα ἅμα τῇ γεννήσει αὐτῶν μετ' ὀλίγον ἀπέθνησκον καὶ οὐκ ἔφθανον τὴν παιδικὴν ἡλικίαν, ὅπως εὐφράνωσι τοὺς γονεῖς αὐτῶν. Ἡ δυστυχὴς αὐτῶν μήτηρ, ἐν τῇ πανταχόθεν ἀπελπισίᾳ αὐτῆς, κατέφυγεν ἐν ἀγνοίᾳ μου εἰς τὸ λείψανον τοῦ αἰχμαλώτου Ἰωάννου καὶ προσφέρουσα κηρὸν καὶ ἕτερα δῶρα τῷ κανδηλάπτῃ τοῦ ναοῦ, παρεκάλει δι' αὐτοῦ τὸν Ἰωάννην ὅπως χαρίσῃ αὐτῇ παιδίον, ὅπερ ηὔχοντο ἵνα ἴδωσιν οἱ γονεῖς αὐτοῦ ζῶν ἐπὶ πολύ. Ὑπέσχετο δὲ συγχρόνως ὅτι, ἐὰν ὁ Ἰωάννης εἰσακούσας τῆς δεήσεως αὐτῆς χαρίσῃ αὐτῇ τέκνον, καλέσει αὐτὸ «τέκνον Ἰωάννου». Τῷ ὄντι δὲ εἰσήκουσεν ὁ δίκαιος αἰχμάλωτος τῆς θερμῆς παρακλήσεως τῆς γυναικός μου καὶ ἐχαρίσατο ἡμῖν ὁ Θεὸς παιδίον ἀρσενικόν, ὅπερ, ὡς γινώσκετε, ὠνομάσαμεν οὕτω· «Κιολὲ Γιοβὰν ὀγλοῦ», ἤτοι ὁ υἱὸς τοῦ αἰχμαλώτου Ἰωάννου. (1) Ζῇ δέ, εὐχαῖς αὐτοῦ, μέχρι σήμερον καὶ ἐξακολουθεῖ σπουδάζον ἐν τῷ σχολείῳ.»

Πολλὰ δὲ ἕτερα θαύματα ἐγένοντο καὶ γίνονται καθ' ἑκάστην παρὰ τῇ σορῷ τῶν ἱερῶν λειψάνων τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου· ἤτοι, ἀσθενεῖς θεραπεύονται, χωλοὶ περιπατοῦσι, πονηρὰ πνεύματα ἐκδιώκονται καὶ ἕτερα ἰάματα ἐνεργοῦνται τοῖς μετὰ

(1) Τὸ εἰρημένον παιδίον, ἔν τε τῷ σχολείῳ καὶ τῇ οἰκογενείᾳ αὐτῶν, δακτυλοδεικτούμενον ἐστὶ πᾶσι γνωστὸν ὑπὸ τὸ ἀνωτέρω ὄνομα «Κιολὲ Γιουβὰν ὀγλοῦ». Ἐὰν δέ τις, ἀγνοῶν τοῦτο, ἐρωτήσῃ τοὺς συμμαθητὰς αὐτοῦ ἢ τοὺς οἰκείους, τίς ἐστιν ὁ ἐν λόγῳ παῖς; αὐτὸς ἐν πρώτοις ἀποκρίνεται μετὰ χαρᾶς, ἅμα δὲ καὶ παιδικῆς καυχήσεως, κρούων τὸ μικρὸν αὐτοῦ στῆθος, ὅτι, «αὐτὸς ἐγώ εἰμι, ὁ υἱὸς τοῦ Κιολὲ Γιουβάν.»

θερμῆς πίστεως καὶ εὐλαβείας ταύτῃ προσερχομένοις· οὐ μόνον ὀρθοδόξοις χριστιανοῖς, ἀλλὰ καὶ ἑτεροδόξοις, ἀρμενίοις δηλ. καὶ ὀθωμανοῖς(1), ὅτινα διὰ βραχυλογίαν παραλείπομεν. Καὶ ἐκ τῶν ὀλίγων ὅμως τούτων, τῶν ἐνταῦθα ἐξιστορηθέντων, δύναται πᾶς τις ἐννοῆσαι τὰ περὶ τῆς ἁγιότητος καὶ ὑψηλῆς χάριτος, ἅμα δὲ καὶ τῆς πρὸς Θεὸν παρρησίας τοῦ ἁγίου τούτου νέου ὁμολογητοῦ Ἰωάννου τοῦ Ρώσσου. Ὅστις, ὡς διηγήθημεν, γενναίως μὲν πρότερον ἠγωνίσθη κατὰ τοῦ κοινοῦ ἐχθροῦ ἡμῶν, ἀνθρωποκτόνου διαβόλου, ὡμολόγησε δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Υἱὸν Θεοῦ, καὶ Θεὸν ἀληθινόν, ἐναντίον ἑτεροδόξων. Ἀλλὰ καὶ καρτερικῶς ἀσκήσας κατ' ἰδίαν, διὰ τῆς θεαρέστου αὐτοῦ καὶ ὑψηλῆς πολιτείας, εὐηρέστησε τῷ Θεῷ. Καὶ δοξάσας οὕτως αὐτὸν ἐπὶ γῆς ἀντιδοξάζεται νῦν παρ' αὐτοῦ, αἰωνίως μὲν ἐν τοῖς οὐρανοῖς, ἐπὶ γῆς δὲ διὰ καθημερινῶν θαυμάτων καὶ ἐξαισίων ἐνεργειῶν καὶ ἰάσεων.

Εἰς τοῦτον τὸν χαριτώνυμον ἅγιον, ἀδελφοὶ ἀγαπητοί, ἀνεπαύσατο ὄντως ἅπασα ἡ χριστιανικὴ τελειότης. Διότι, καθὼς καθεκάστην ἀναγινώσκομεν εἰς τὰς θείας Γραφάς, ἡ τελειότης ἑκάστου χριστιανοῦ συνίσταται εἰς τὰ δύο ταῦτα· πρῶτον μέν, ἵνα εὐχαρίστως δέχηται ὅσα παρὰ τῆς παντοδυνάμου θείας Προνοίας ἐπέρχονται αὐτῷ πανταχόθεν πρὸς δοκιμασίαν, ἤτοι διαφόρους θλίψεις, ἀσθενείας σωματικάς, στερήσεις ὑπαρχόντων, θανάτους προσφιλῶν, ἀδικίας, καὶ τὰ τούτοις ὅμοια· δεύτερον δέ, σὺν τῇ γενναίᾳ ὑπομονῇ τούτων, ἵνα ἐργάζηται ἀδιακόπως καὶ τὸ καλόν, προστιθεὶς διαφόρους θεοφιλεῖς ἀγῶνας καὶ πνευματικὰς ἀσκήσεις, ἤτοι θερμὰς προσευχάς, νηστείας, ἀγρυπνίας, χαμαικοιτίας, ἐξομολόγησιν ἁμαρτιῶν καὶ τῶν κρυπτῶν λογισμῶν,

(1) Ἐν ἁπάσῃ τῇ Καππαδοκίᾳ, ὁ ἅγιος Ἰωάννης ἐστὶ γνωστὸς οὐχὶ μόνον μεταξὺ τῶν χριστιανῶν, ἀλλὰ καὶ μεταξὺ τῶν ὀθωμανῶν. ὑπὸ τὸ ὄνομα «Κιολὲ Γιουβάν,» ἤτοι «ὁ αἰχμάλωτος Ἰωάννης.» Πολλοὶ δὲ δαιμονιζόμενοι θεραπεύονται ἀπέναντι τοῦ ἁγίου, ἐν οἷς καὶ κράζουσιν· «Κιολὲ γιάκμα μπηζί»· ἤτοι, «αἰχμάλωτε μὴ καίῃς ἡμᾶς.»



συνεχῆ μετάληψιν τῶν ἀχράντων τοῦ Χριστοῦ Μυστηρίων, περιποίησιν πτωχῶν, φιλοξενίαν, καὶ τὰ τούτοις παραπλήσια. Καὶ ἰδού, ὅτι ταῦτα πάντα κατεῖχεν ἐν ἑαυτῷ καὶ διετράνωσε καθ' ὅλην τὴν ζωὴν ὁ ἅγιος· διότι, ὄχι μόνον ὑπέμεινεν ἀγογγύστως καὶ μετὰ μεγάλης γενναιοψυχίας πάνθ' ὅσα κατὰ καιρικὴν περίστασιν, ἢ μᾶλλον εἰπεῖν κατὰ θείαν οἰκονομίαν, ἐπῆλθον αὐτῷ δεινά, ἀλλὰ προσέθετο καὶ ἐξ ἰδίας αὐτοῦ ἀγαθῆς προαιρέσεως πλείστους ὅσους κόπους καὶ ἀγῶνας, καθὼς ἠκούσατε, πρὸς κατόρθωσιν τῆς ἀρετῆς. Καὶ οὕτως, ὑπομένων γενναίως τὰς τῶν κακῶν, τῶν ἀσθενειῶν καὶ τῶν ἀτυχημάτων ἐπιφοράς, ἀγωνιζόμενος δὲ καὶ κακοπαθῶν διὰ τὴν κατεργασίαν τῶν ἀρετῶν, ἠξιώθη ἐπὶ τέλους τῆς μακαρίας λήξεως, τῆς βασιλείας τῶν οὐρανῶν.

Τοῦτον λοιπὸν μιμηθῶμεν καὶ ἡμεῖς, χριστιανοὶ ἀδελφοί. Τοῦτον, ὡς παράδειγμα ζῶν πρὸ τῶν ὀφθαλμῶν ἡμῶν διαπαντὸς ἔχοντες, οὐχὶ μόνον πρέπει ἵνα ὑπομένωμεν μεγαλοψύχως τὰς καθεκάστην ἡμέραν ἐπερχομένας ἡμῖν διαφόρους θλίψεις, εἴτε παρὰ τῶν κακοφρόνων καὶ διεστραμμένων ἀνθρώπων, εἴτε ὑπὸ τῆς διεφθαρμένης ὡς ἐκ τῆς ἁμαρτίας φύσεως ἡμῶν, εἴτε καὶ παρ' αὐτοῦ τοῦ ἀνθρωποκτόνου διαβόλου, ἀλλὰ καὶ ἐξ ἰδίας ἡμῶν προαιρέσεως, ἀνάγκη ἵνα πιστεύωμεν καθῆκον ἡμῶν τὸ ἐκτελεῖν προθύμως καὶ μετὰ χριστιανικῆς αὐταπαρνησίας πάνθ' ὅσα παρὰ τῆς ἁγιωτάτης ἡμῶν θρησκείας ἐπιβάλλονται ἡμῖν ἱερὰ καθήκοντα καὶ ἱερὰ ἐντάλματα. Πρὸ πάντων δὲ καθῆκον ἔχομεν ἵνα φυλάξωμεν τὴν θείαν παρακαταθήκην τῆς ἀμωμήτου ἡμῶν πίστεως, τὴν ὁποίαν ἐκληροδότησαν ἡμῖν οἱ ἅγιοι Πατέρες τῆς Ἐκκλησίας ἡμῶν, ἀδιαλώβητον καὶ σώαν, ὡς καὶ οὗτος ὁ παρ' ἡμῖν νῦν εὐφημούμενος ἐξ ἀλλοδαπῆς ἅγιος πατὴρ ἡμῶν Ἰωάννης, ὁ βλαστὸς τῆς Ρωσσίας, ἐφύλαξεν ἀκεραίαν καὶ ὡμολόγησεν αὐτὴν διὰ τοῦ ἰδίου αὐτοῦ αἵματος ἐνώπιον πάντων τῶν λαῶν. Μάλιστα δέ, καθὼς πρὸ τούτου πλεῖστοι ἄλλοι ἅγιοι τῆς ἁγίας ἡμῶν μητρὸς Ἐκκλησίας ἐδείχθησαν θερμοὶ μὲν τῆς πίστεως πρόμαχοι, λαμπροὶ δὲ γόνοι τῆς ἐπιφανοῦς Καππαδοκίας, μάρτυρες, λέ-

-νω, ἀσκηταί, καὶ θεῖοι ἱεράρχαι. Οἵτινες, οὐχὶ μόνον ἐνώπιον βασιλέων καὶ δυναστῶν ἐπὶ τοσούτους αἰῶνας στεντορείως τὴν πίστιν ὡμολόγησαν, ἀλλὰ καὶ διὰ βίου κατὰ τὰς θείας ἐντολὰς αὐτῆς πολιτευσάμενοι, καὶ δι' ἔργων ἀναφανέντες πρώτιστα τῆς ἀρετῆς παραδείγματα, πολλοὺς τῶν ἀνθρώπων ἔργῳ τε καὶ λόγῳ ὠφελήσαν καὶ τῷ παντεπόπτῃ Θεῷ ἐπὶ τέλους εὐηρέστησαν. Διὰ τοῦτο, δίκαιον εἶχε περὶ τούτων ἀναφωνεῖν ἀφ' ὑψηλοῦ βήματος καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεολόγος λέγων· «Τῶν Καππαδοκῶν οὐδὲν οὕτως ἴδιον, ὡς τὸ τῆς πίστεως ἀρραγές, καὶ τὸ πρὸς τὴν Τριάδα πιστὸν καὶ γνήσιον· παρ' οἷς καὶ τῷ ἡνῶσθαι καὶ τὸ ἰσχύειν αὐτούς.»

Ὅθεν καὶ ἡμεῖς, ὡς ταπεινοὶ ἀπόγονοι ἐκείνων τῶν ἐνδόξων προμάχων τῆς Ὀρθοδοξίας ὑπάρχοντες, μιμηθῶμεν κατὰ δύναμιν αὐτοὺς εἰ οὐχὶ κατὰ τὰς μεγάλας αὐτῶν ἀρετάς, ἀλλὰ γοῦν ἐν τῇ θερμῇ πρὸς Θεὸν πίστει καὶ εὐλαβείᾳ, καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ καὶ ὁμονοίᾳ. Καὶ οὕτω θεαρέστως πολιτευόμενοι μέλλομεν ἔχειν διαρκῆ τὴν εὐσεβῆ πεποίθησιν ὅτι οὐ μόνον θέλομεν διάγει ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ εἰρηνικῶς καὶ κατὰ τὰς εὐαγγελικὰς ὑποθήκας καὶ τὰς συμβουλὰς τῶν Πατέρων, ἀλλὰ καὶ μετὰ θάνατον, διὰ πρεσβειῶν ἐκείνων τῶν μεγάλων ἁγίων καὶ οἰκουμενικῶν διδασκάλων, καὶ τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἅμα δὲ καὶ τοῦ νῦν ὑφ' ἡμῶν ἑορταζομένου ἁγίου Ἰωάννου τοῦ ὁμολογητοῦ, θέλομεν ἀξιωθῇ τῆς οὐρανίου βασιλείας τοῦ Θεοῦ, ἔνθα τὸ φῶς τὸ ἀνέσπερον, ἡ ἀνεκλάλητος χαρά, ἡ ἡδονὴ ἡ ἀνέκφραστος, καὶ ἡ αἰώνιος ζωή, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ

**καὶ τῷ ἐν ἁγίοις δοξαζομένῳ Θεῷ δόξα.**

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ
# ΟΣΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΡΩΣΣΟΝ
## (ἔργον Δανιὴλ μοναχοῦ)

Μετὰ τὸ **Εὐλογητός**· τὸ **Κύριε εἰσάκουσον**· **Θεὸς Κύριος** εἰς ἦχον δ'.

Πρὸς **Τῇ Θεοτόκῳ ἐκτενῶς.**

Τῷ Ἰωάννῃ οἱ πιστοὶ νῦν προσδράμωμεν, οἱ ἐν δεινοῖς καὶ συμφοραῖς, καὶ προσπέσωμεν, ἐν εὐσεβείᾳ κράζοντες, ἐκ βάθους ψυχῆς· Ὅσιε, βοήθησον ἐφ' ἡμῖν τοῖς ἱκέταις, πρόφθασον καὶ λύτρωσαι τῆς παρούσης ἀνάγκης· μὴ παραβλέψῃς δέησιν οἰκτρὰν τῶν προσφυγόντων τῇ σκέπῃ σου, ἅγιε.

**Δόξα**, τὸ αὐτό· **Καὶ νῦν. Οὐ σιωπήσωμεν**· Εἶτα ὁ Ν'.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν. **Ὑγρὰν διοδεύσας.**

Δειναῖς πιεζόμενος συμφοραῖς, πρὸς σὲ ἐπιρρίπτω καὶ τὸ σῶμα καὶ τὴν ψυχήν· δεόμενος σοῦ, ὅσιε πάτερ, ἐκ λυπηρῶν καὶ δεινῶν με λυτρώσασθαι.

Σαρκός με τοῦ κλύδωνος προσβολή, μάκαρ Ἰωάννη, ἐκταράττει διηνεκῶς· εἰρήνευσον, πάτερ, τῇ γαλήνῃ, τῇ τοῦ Θεοῦ, συμπαθέσι πρεσβείαις σου.

Δαιμόνων τὰ στίφη τὰ πονηρὰ καταπολεμοῦσι τὸν σὸν δοῦλον ἀνηλεῶς· κατάλυσον τούτους τῇ δυνάμει, τῇ τοῦ Σταυροῦ, φιλανθρώποις πρεσβείαις σου.

Θεοτόκιον.

Παρθένε, ἡ πύλη ἡ τοῦ Θεοῦ, ἄνοιξόν μοι πύλην εὐσπλαγχνίας καὶ ἐκ πυλῶν τῆς θανατηφόρου ἁμαρτίας τῇ μητρικῇ παρρησίᾳ σου ῥῦσαί με.

'Ωδὴ γ'. **Οὐρανίας ἁψῖδος.**

Πονηρίας ἀνθρώπων ὀδυνηρῶν πάντοτε ἀπειλὰς πνεόντων δυσφήμως σύ με διάσωσον, τὴν θηριώδη αὐτῶν μανίαν διασκεδάσας, εὐσεβῶν τὸ στήριγμα, πάτερ πανένδοξε.

Εὐτρεπίσας πανσόφως τὸ τῆς ψυχῆς οἴκημα, καὶ διαφερόντως κοσμήσας, θεομακάριστε, χάριν τοῦ Πνεύματος εἰσδεδεγμένος ὠράθης καὶ φωτὸς πληρέστατος ὡς στύλος πύρινος.

Θεοτόκιον.

Καθαρᾶς παρθενίας ἀποπεσών, Πάναγνε, ὅλως ἐμολύνθην τῷ πάθει τῆς ἀσωτίας μου· ἡ τετοκυῖα κριτὴν ἁμαρτανόντων ἀνθρώπων πάσης κατακρίσεως, Παρθένε, σῶσόν με.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, θεοφόρε, τοὺς ἐν πίστει εἰλικρινεῖ πρὸς σὲ καταφεύγοντας, ὡς ἕτοιμον βοηθὸν ἐν ἀνάγκαις.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεὺς ὑπὲρ ὧν ἡ παράκλησις γίνεται· καὶ ψάλλομεν τὸ **Κύριε ἐλέησον.** Ὁ ἱερεύς. **Ὅτι ἐλεήμων.** Καὶ εὐθὺς λέγομεν τὸ ἑπόμενον Κάθισμα.

Ἦχος Β'. **Τὰ ἄνω ζητῶν.**

Προστάτης θερμὸς καὶ πύργος ἀπροσμάχητος ἐδείχθης, σοφέ, τοῖς πίστει ἐκβοῶσί σοι καὶ σεπτῶς κραυγάζουσι, θεοφόρε Ἰωάννη, πρόφθασον καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς ἀεὶ τῇ Τριάδι παριστάμενος.



'Ωδὴ δ'. **Εἰσακήκοα Κύριε.**

Ἰαμάτων χαρίσματα τῷ σεπτῷ τεμένει σου οἱ προσφεύγοντες ἀρυόμεθα εὐφρόσυνοι, καὶ δοξάζομέν σε θαυματόβρυτε.

Καππαδόκων συστήματα καὶ τῶν Προκοπέων πλήθη τὰ εὐλαβῆ ἀντιλήπτορα γινώσκουσι καὶ προστάτην πάντες εὐφημοῦσί σε.

Διαβὰς ἀνδρικώτατα νέφος τῆς σαρκός σου διὰ τῆς πράξεως εἴσω γέγονας, ἀοίδιμε, τοῦ φωτὸς τοῦ θείου, ὡς ἐπόθησας.

Θεοτόκιον.

Οἶκος γέγονας, ἄχραντε, τοῦ Θεοῦ τῶν ὅλων ὡς Ἀειπάρθενος· οἶκον ὅθεν με ἀνάδειξον ἀρετῶν ἐνθέων, θείᾳ χάριτι.

'Ωδὴ ε'. **Φώτισον ἡμᾶς.**

Φρούρησον ἡμᾶς ταῖς πρεσβείαις σου, μακάριε, καὶ τῷ βραχίονί σου τῷ κραταιῷ πικροὺς δαίμονας κατάβαλε, ὑπερθαύμαστε.

Δώρησαι ἡμῖν τὴν ὑγείαν δεομένοις σου, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀεί, καὶ τὴν μυρίπνοον ρῶσιν, πάτερ πανόλβιε.

Ἴασαι λαὸν προσδραμόντα σοι, θαυμάσιε, καὶ λοιμικῆς νόσου καὶ πυρετῶν καὶ ἀλγηδόνων παντοίων ὅλως διάσωσον.

Θεοτόκιον.

Χαίρει ἐπὶ σοί, Θεοτόκε, κτίσις ἅπασα τῶν Ἀγγέλων τὰ συστήματα, καὶ τῶν ἀνθρώπων γλῶσσα, πᾶσα, σὲ δοξάζουσι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

Ὠδὴ στ'. **Τὴν δέησιν ἐκχεῶ.**

Θαυμάτων σε θησαυρὸν ἐπίσταμαι καὶ πηγὴν τῶν ἀγαθῶν, Ἰωάννη· ἀρρωστιῶν ἰατρεύοντα πάθη, καὶ ἐνεργείας δαιμόνων ἐλαύνοντα· καὶ δέομαι σωθῆναι νῦν ἐκ φθορᾶς με κακῶν, χαριτώνυμε.

Προστάτην σε τῶν πτωχῶν κηρύττομεν, καὶ φρουρὸν Καππαδοκίας ἁπάσης, τῶν πειρασμῶν διαλύοντα ὄχλον, καὶ δυσσεβῶν ἐπηρείας διώκοντα· καὶ πάντας νῦν τοὺς εὐσεβεῖς τῶν δεινῶν λυτρωθῆναι δεόμεθα.

Λιμένα σε ἐν κινδύνοις ἔχομεν, καὶ ἐν θλίψεσι προστάτην, παμμάκαρ, καὶ παντελῆ συμφορῶν σωτηρίαν καὶ ποταμὸν δωρεῶν ἀνεξάντλητον, καὶ βρύσιν εὐεργεσιῶν, καὶ πηγὴν ἰαμάτων ἀέναον.

Θεοτόκιον.

Ἀγκάλαις σου καὶ μαστοῖς, ὦ Δέσποινα, τῷ υἱῷ σου μεσιτεύουσα δεῖξον σοῖς τὰ ἐκείνου Παρθένε, σταυρὸν καὶ λόγχην καὶ σπόγγον καὶ κάλαμον, καὶ οὕτως ἱλέωσον αὐτὸν ἐφ' ἡμῖν τοῖς πολλὰ ἁμαρτήσασι.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, ἀθλοφόρε, τοὺς ἐν πίστει εἰλικρινεῖ πρὸς σὲ καταφεύγοντας, ὡς ἕτοιμον βοηθὸν ἐν ἀνάγκαις.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, σῶσον ἡμᾶς ὡς ἔχουσα μητρικὴν παρρησίαν.

**Κοντάκιον** Ἦχος β'.

Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν



βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

*καὶ εὐθὺς τὸ Προκείμενον*

«Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ».

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.**

(Κεφ. Ε. 17—26).

«Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε. Μακάριοι οἱ πτωχοὶ ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ Οὐρανῷ».

**Δόξα.** Ταῖς τοῦ ὁσίου. **Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου. «Ἐλεῆμον ἐλέησόν με ὁ Θεός».

**Ὅλην ἀποθέμενοι**

Μὴ ἀποστερήσῃς με τῆς σῆς θερμῆς προστασίας, Ἰωάννη ὅσιε, ἀλλὰ θραῦσον δέομαι τῇ ἰσχύϊ σου θράση ἀνίσχυρα καὶ τὰ τοξεύματα τῶν δαιμόνων τὰ

ἀνέλπιστα· νόσων ἀπάλλαξον καὶ πειρατηρίων καὶ θλίψεων, καὶ πάντας ἐλευθέρωσον τῶν σατανικῶν ἐπιθέσεων· ἵνα σε νεαρῷ καὶ πόθῳ ἀνυμνῶ καὶ προσκυνῶ, καὶ μεγαλύνω σου, ἅγιε, ἔργα τὰ θεάρεστα.

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὠδὴ ζ'. **Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τὴν ψυχὴν θυμηδίας καὶ χαρᾶς ἁπάσης ἀνάδειξον ἔμπλεω, θεόφρων Ἰωάννη, τῶν σε θερμῶς ὑμνούντων, καὶ βοᾶν ἀεὶ δίδαξον· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Λαμπρυνθεὶς τῷ σῷ πάθει σκοτισθέντα με ἁμαρτήμασι λάμπρυνον τὸν πόθῳ προσιόντα τῷ σῷ σεπτῷ λειψάνῳ καὶ κραυγάζειν ἀξίωσον· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Πειρασμῶν καὶ κινδύνων καὶ ἀνάγκης καὶ θλίψεως ἐλευθέρωσον καὶ βλάβης τῶν δαιμόνων τοὺς σῇ σκέπῃ θαρροῦντας καὶ ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτόκιον.

Τῶν ἀνθρώπων ὁ πλάστης ἐν γαστρί σου σκηνώσας, Θεοχαρίτωτε, ἁπάντων προστασίαν τῶν ζάλαις κλονουμένων καὶ βοώντων δεικνύει σε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. **Τὸν βασιλέα τῶν Οὐρανῶν.**

Τοῖς ποντουμένοις βιωτικαῖς τρικυμίαις χεῖρα δίδου, παμμάκαρ, ὑμνοῦσι καὶ ὑπερυψοῦσι Χριστὸν εἰς τοὺς αἰῶνας.



Τῶν σῶν λειψάνων τῶν εὐαγῶν ἀπτομένους εὐωδίας ἐκπλήρωσον θείας Κύριον ὑμνοῦντας πιστῶς εἰς τοὺς αἰῶνας.

Τοὺς δεομένους ἐκτενῶς, θεοφόρε, καὶ τὴν χάριν αἰτοῦντας προσδέχου καὶ δοξολογοῦντας Θεὸν εἰς τοὺς αἰῶνας.

Θεοτόκιον.

Τῶν μολυσμάτων μου τὴν καρδίαν, Παρθένε, μετανοίας καθάρισον νίπτροις, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. **Κυρίως Θεοτόκον.**

Ἀστέρα, Ἰωάννη, σὲ σημειοφόρον, ὁμολογοῦμεν ἡμῖν φῶς αὐγάζοντα τοὺς εὐσεβεῖς ὀρθοδόξως Χριστῷ λατρεύοντας.

Ἐν σάλῳ, θεοφόρε, τοῖς κυματουμένοις πολλῶν κακῶν σοῖς ἱκέταις βοήθησον, διασκεδάζων τὰ βέλη τοῦ πολεμήτορος.

**Δόξα.**

Τὴν δέησιν μου δέξαι τοῦ ταπεινωθέντος καὶ χαλεπῶν, θεοφόρε, κακώσεων καὶ ἁμαρτίας ἁπάσης με λύτρωσαι.

**Καὶ νῦν.** Θεοτόκιον.

Ἐλπίδα σωτηρίας τῶν ἐκπεπτωκότων αἱ γενεαί, Θεοτόκε, γινώσκουσαι διὰ παντὸς ὁμοφώνως σε μακαρίζουσιν.

Εἶτα, ἀσπαζομένων τῶν προσκυνητῶν τὸ τοῦ ὁσίου λείψανον, ψάλλομεν τὰ παρόντα· πρὸς τό: **Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί.**

Τοὺς συναθροισθέντας τῷ σῷ ναῷ ἀοράτων πάντας ὁρατῶν τε ἐπιβουλῆς ἡμᾶς τυραννούντων δεόμεθα ρυσθῆναι ὑπὸ τὴν σὴν αἰγίδα θερμῶς προσφεύγοντας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τὰ πεπυρωμένα βέλη ἐχθροῦ βροτοκτόνου, πάτερ, ἀπομάκρυνον ἀφ' ἡμῶν, ταῖς πρὸς τὴν Τριάδα θερμαῖς σου ἱκεσίαις, ὅπως ῥυσθέντες τούτων σὲ μεγαλύνωμεν.

Τὸν ἀστέρα πάντες τὸν φαεινόν, τὸν ἐκ Προκοπίου ἀπαστράψαντα νοητῶς, ὁσίων τὸ κλέος καὶ Καππαδόκων δόξαν, τὸν θεῖον Ἰωάννην ὕμνοις τιμήσωμεν.

Αἴτησαι εἰρήνην παρὰ Θεοῦ, πνευμάτων γαλήνην μέχρι τέλους ὑπομονήν· ψυχῶν σωτηρίαν ἡμῖν τοῖς σοῖς ἱκέταις, τοῖς εὐφημοῦσι πόθῳ τὰ σὰ θαυμάσια.

Καὶ τὸ· Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί.

Εἶτα τὰ τροπάρια ταῦτα.

Ἦχος β'. **Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Δεῦτε προσκυνήσωμεν, πιστοί, καὶ μετ' εὐλαβείας καὶ πόθου κατασπαζόμενοι λείψανον περίσεπτον καὶ πανυπέρτιμον Ἰωάννου θεόφρονος, ἁγνίσωμεν χείλη, ὄμματα καὶ μέτωπα, καὶ ἱκετεύσωμεν ὅπως καὶ ἡμᾶς ἀξιώσῃ τέλους σωτηρίου καὶ θείου ταῖς αὐτοῦ πρὸς Κύριον δεήσεσιν.

Ἄνω τῶν Ἀγγέλων τοῖς χοροῖς καὶ τῶν ἀθλοφόρων τοῖς δήμοις ἡ σὴ ἁγία ψυχὴ τέρπεται, μακάριε, καὶ συναγάλλεται· καὶ ὁσίων τοῖς πλήθεσι, χοροῖς προφητῶν τε καὶ ἱεραρχῶν ὁμοῦ τοῖς θείοις τάγμασι· κάτω δὲ τὸ πάνσεπτον σῶμα ὕμνοις καὶ ᾠδαῖς ἐπαξίως ὑφ' ὑμῶν τιμώμενον δοξάζεται.

Καὶ τὸ Θεοτόκιον· **Τὴν πᾶσαν ἐλπίδα μου.**

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ